# ΑΚΟΛΟΥΘΙΑ

# ΟΣΙΑΣ ΕΙΡΗΝΗΣ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ



www.tezaurliturgic.ro

Κάθε γνήσιο ἀντίτυπο φέρει τὴν ὑπογραφὴ τοῦ συγγραφέα ἢ τοῦ ἐκδότη

ΔΗΜΗΤΡΙΟΣ Γ. ΜΑΥΡΙΔΗΣ
**ΟΣΙΑ ΕΙΡΗΝΗ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ**

**Copyright © 2014 All rights reserved**
**ΔΗΜΗΤΡΙΟΣ Γ. ΜΑΥΡΙΔΗΣ**
570 19 Νέοι Επιβάτες Θεσσαλονίκης
Ἀνατολικῆς Θράκης 33
Ηλεκτρ. ταχυδρ.: drmavridis@gmail.com
Τηλέφωνα: 23920 75159, 6971 536 033

Έτος 1ης έκδοσης: 2014
ΣΕΛΙΔΟΠΟΙΗΣΗ: Gudrun – Μαργαρίτα Μαυρίδου
ΔΙΟΡΘΩΣΗ ΚΕΙΜΕΝΟΥ: Ιωάννης Δ. Μαυρίδης
ΕΞΩΦΥΛΛΟ: Ειρήνη Δ. Μαυρίδου

**ISBN: 978-960-93-6176-7**

Ἡ πνευματικὴ ἰδιοκτησία ἀποκτᾶται χωρὶς καμία διατύπωση καὶ χωρὶς τὴν ἀνάγκη ῥήτρας ἀπαγορευτικῆς τῶν προσβολῶν της. Πάντως κατὰ τὸ Ν. 2121/1993 καὶ τήν διεθνὴ σύμβαση τῆς Βέρνης (ὁ ὁποῖος ἔχει κυρωθεί με τὸν Ν. 100 / 1975) ἀπαγορεύεται ἡ ἀναδημοσίευση καὶ γενικὰ ἡ ἀναπαραγωγὴ τοῦ παρόντος ἔργου, μὲ ὁποιονδήποτε τρόπο, (ἠλεκτρονικό, μηχανικό, φωτοτυπικὸ ἤ ἄλλο), τμηματικὰ ἡ περιληπτικὰ στό πρωτότυπο ἡ σὲ μετάφραση ἡ ἄλλη διασκευή, χωρὶς γραπτὴ ἄδεια τοῦ ἐκδότη. Ἐπιτρέπεται ἡ χρήση τμημάτων τοῦ ἔργου, ἐφόσον τηρηθεῖ ἡ ἐπιστημονικὴ δεοντολογία, δηλαδὴ ἡ πλήρης ἀναγραφὴ τῶν πηγῶν.

## Ἀπολυτίκια Ὁσίας Εἰρήνης Χρυσοβαλάντου

### Ἦχος γ'. **Θείας πίστεως.**

Σκάμμα ἔνθεον ἐπιποθοῦσα, δόξαν ῥέουσαν ὑπεριδοῦσα, δι' ἀσκήσεως ὁσία ἐκλάμψασα, ὡς οὖν Εἰρήνη τυχοῦσα τοῦ πόθου σου, ἐν ὁμονοίᾳ ὑμᾶς διαφύλλαττε, ἀξιάγαστε Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος (28.7.).

### Ἕτερον. Ἦχος γ΄. **Θείας πίστεως.**

Δόξαν ῥέουσαν, ὑπεριδοῦσα, νύμφη ἄμωμος, ὤφθης τοῦ Λόγου, δι΄ ἀσκήσεως Ὁσία ἐκλάμψασα· ὡς οὖν Εἰρήνη τυχοῦσα τοῦ πόθου σου, ἐν ὁμονοίᾳ ἡμᾶς διαφύλαττε, ἀξιάγαστε, Χριστῷ τῷ Θεῷ πρεσβεύουσα, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος (*Γερασίμου Μικραγιαννανίτου*).

### Ἕτερον. Ἦχος πλ. α΄. **Τὸν συνάναρχον Λόγον.**

Βασιλείας γηΐνου πάλαι οὐκ ἔτυχες, ἀλλ᾽ ἀφθάρτων στεφάνων νῦν σε ἠξίωσεν, ὁ Νυμφίος σου Χριστὸς ὁ ὡραιότατος· ᾧ καθιέρωσας σαὐτήν, ὅλη καρδίᾳ καὶ ψυχῇ, Εἰρήνη Ὁσία Μῆτερ, Χρυσοβαλάντου ἡ δόξα, ἡμῶν δὲ προσφυγὴ καὶ βοήθεια (*Γερασίμου Μικραγιαννανίτου*).

# Περιεχόμενα

## Οσία Ειρήνη Χρυσοβαλάντου

Ἀκολουθία τῆς Ὁσίας καὶ Θεοφόρου Μητρὸς Ἡμῶν Εἰρήνης Χρυσοβαλάντου

Παρακλητικός κανών τῆς Ὁσίας Μητρὸς Ἡμῶν Εἰρήνης Χρυσοβαλάντου

Χαιρετισμοί τῆς Ὁσίας Μητρὸς Ἡμῶν Εἰρήνης Χρυσοβαλάντου

Ἐγκώμια / Εὐλογητάρια τῆς Ὁσίας καὶ Θεοφόρου Μητρὸς Ἡμῶν Εἰρήνης Χρυσοβαλάντου

+

# ΑΚΟΛΟΥΘΙΑ

## ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ & ΘΕΟΦΟΡΟΝ ΜΗΤΕΡΑ ΗΜΩΝ

# ΕΙΡΗΝΗΝ, ΚΑΘΗΓΟΥΜΕΝΗΝ

## ΤΗΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΠΕΡΙΠΥΣΤΟΥ ΜΟΝΗΣ ΤΟΥ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ

*(ἑορταζομένης τῇ κη' / 28η Ἰουλίου)*




Ἡ φορητὴ εἰκὼν εἶναι ποίημα καὶ δωρεὰ διά χειρὸς Ζωῆς Μικιρέζου-Στράντζια.

Ἐπερατώθη , σὺν Θεῷ ἁγίῳ, ἡ παροῦσα Ἀκολουθία, ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος καί ἐν Νέοις Ἐπιβάταις Θεσσαλονίκης, διά χειρός Δημητρίου Γ. Μαυρίδη, τῇ κη' Ἰουλίου ͵βιγ'

(2013)



## ΤΗι ΚΗ΄ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΛΙΟΥ

## ΜΝΗΜΗ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ

## ΕΙΡΗΝΗΣ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ

* * *

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Δεῦτε πάντες ἐν ὕμνοις, οἵαν τιμήσωμεν, τὴν ἐπὶ γῆς ὀφθεῖσαν καὶ ἀγγέλοις οἰκείαν, οὐράνιον νυμφίον πάνυ σοφῶς, τὸν Χριστὸν ἐξελέξασα, Χρυσοβαλάντου Εἰρήνην πανευκλεῶς, πανοικὶ συνεορτάσωμεν.

Η ἁγία ζωή σου, μῆτερ πανεύφημε, ἀστὴρ ὡς σελασφόρος, ἡμῶν τὰς ψυχὰς αὐγάζει, φωτίζεις ἤματα πάντα ἀεί, ὦ Εἰρήνη χρυσόλαμπε, μαρμαρυγὰς καταπέμπουσα τοῖς πιστοῖς, ὡς ὁδοδείκτης ψυχῶν πάνυ σωτήριος.

Μῆτερ ἡμῶν ἁγία, Χρυσοβαλάντου τερπνή, ἡ τοῦ Θεοῦ Εἰρήνη καί Σωτῆρος ὁσία, τάς χάριτας κομίζεις ὡς ἐκλεκτή, τοὺς εἰς σέ καταφεύγοντας καὶ ἐξαπίνης διώκουσα ἀπηνῶς, τῶν ὑπεναντίων τά ἀτοπήματα.

Ἠλλοιωμένη τῷ θείῳ, ἡ σὴ καρδία πυρί, τῇ καθαρᾷ ψυχῇ σου, τὸν τῆς χάριτος λόγον, ἀῤῥήκτως ἐδέξω φιλαγλαῶς, τόν Χριστόν ἱκετεύουσα, χρυσοβολοῦσα ἰάσεις παντοδαπᾶς, τοῖς σέ ἀνυμνοῦσιν ἀεὶ.

Τετυρωμένον ὡς ὄρος, ὕλη πανάσκιος, ἡ θεία βιοτή σου, βακτηρία καὶ ῥάβδος, ἀῤῥήτως ἐδόθη, πᾶσι πιστοῖς, τῆς Εἰρήνης φερώνυμε, καταπλουτίζουσα δώρων βασιλικῶν, αἴας βροτοῖς τε καί πένησι.

Ῥεῖθρον καλλίροον ὤφθης, ἐξ ἀενάου πηγῆς, τῷ σῷ κλεινῷ σταθμῷ σου, τρισηδύποτον γλεῦκος, ἀρδεύεις ἀπαύστως, πᾶσιν ἡμῖν, τὴν τῆς χάριτος, κρήνην σου, τραυμάτων ἰάσεις παντοδαπῶν, ὢ Εἰρήνη, χρυσοάουσα.

**Δόξα. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.**

Ἰδοὺ ἐξάνετειλεν, ὡς τῆς εἰρήνης ὁ ἥλιος, ἡ πανέορτος μνήμη σου, ἡμᾶς καταχρυσίζουσα, ἀκτίνων ταῖς μαρμαρυγαῖς, λαμπαδοχουμένους καὶ φέγγει τῶν καμάτων τῶν σῶν, ἡ τηλαυγάζουσα τὰς διανοίας ἡμῶν· διό οὖν σέ Εἰρήνη, πάντες γεραίρομεν διακαῶς, τήν μνήμην σου ἑορτάζοντες καὶ ῥητῶς σέ μακαρίζοντες.

**Καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτὸς.**

Ὢ τῶν δωρημάτων σου, ορθοδοξίας τὸ καύχημα, καθορῶν κατανένυγμαι, τὸν νοῦν μου ἀποκάθαρον, τὸν ἐν ἀνομίαις ἐῤῥυπωμένον, νῦν δέ χρυσοφώτιστον ναόν, τῆς ὑπερθέου Τριάδος ἀπέργασον, ὅπως τὴν μεσίτειαν σου καὶ τὸ ἀμέτρητον ἔλεος, μεγαλύνω σῳζόμενος, ὁ ἀχρεῖος ἱκέτης σου, Μῆτερ ἀπεί-ρανδρε Δέσποινα.

**Εἴσοδος. Φῶς ἱλαρόν.**

Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

**Παροιμιῶν τὸ Ἀνάγνωσμα.**

(Κεφ. ΛΑ΄ 10, 26)

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

**Σοφία Σολομῶντος τὸ Ἀνάγνωσμα.**

(Κεφ. Γ', 1-9)

Δικαίων δὲ ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καί ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν καλασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν

Κύριος εἰς τοὺς αἰῶνας. οἱ πεποιθότες ἐπ᾽ αὐτῷ ὁλοκάρπωμα θυσίας, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

(Κεφ. Ε΄, 15-23 & Ϛ΄, 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντίς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ΄ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτήν. Ψάλλομεν στιχηρὰ ἰδιόμελα. Ἦχος α΄.

Ὑμνήσατε φιλομόναχοι, τῆς φρονίμου παρθενίας, Χριστῷ τε Θεῷ νενυμφευμέναι, Εὔας αἱ κόραι, ὅτι οὖσα ἐκ γηγενῶν, ἐσᾶλτο ὣς ἴρηξ πύλας οὐρανοῦ, ἡ ὀξυδερκὴς παρθένος, ἡ ἡλιολαμπὴς Εἰρήνη· ἡ πάνυ λευκώλενος, τό σεμνολόγημα καί ὑπερφυὲς ἐπιτήδευμα, ἡ διακενῆς τῆς ματαιότητος ἀσπίς, ἡ

μακάριος ἰσχὺς τῶν καμάτων, καί τῆς ἀοργησίας, ἡ καρδία ἡ πυρίφλεκτος, ὑφ΄ ἧς καθοδηγούμεναι, αἱ φιλακόλουθοι ψυχαί, εὐσχήμως πολιτεύονται, ἐπὶ τῶν ὑδάτων σωτηρίους τὰς πηγὰς.

Ἦχος β΄.

Παραβολὴν ἀποδεχθεῖσα ἀσημίας, σεαυτὴν ἐπιβαλοῦσα τὴν ἀκοσμίαν, ἀλλότριος νενόμησω· πάντα τερπνὰ ἀπωσαμένη, κῦδος, πλοῦτον, νεότητος κάλλος τε, ῥάβδον εὐθύτητος, ἀντὶ θρόνου προέκρινας· ἔνθεν τῇ δυναστείᾳ τὴν λατρείαν λαμπρύνασα καὶ τῇ βίου βία, τὴν λάμψιν βιώσασα, τῶν ἀῤῥήτων δωρημάτων, θυγάτηρ Τύρου εὐεργής· ἧς τῶν δώρων ἔτυχες· εἰ στακτὴν σμύρνα τε ἔλαιον ἔλαβες, ταῦτα διαδιδοῦσα· ἡμῖν τῶν σὲ ὑμνούντων, τῶν πανοικὶ τὴν πολιτείαν σου.

Ἦχος γ΄.

Πῶς νῦν ἀξίως ὑμνήσω, τῶν ἀρετῶν σου τὰ τρόπαια, Εἰρήνη Χρυσοβάλαντε, εἰ καὶ ἐν ἀσθενείᾳ τοῦ θήλεος, τὸν τῆς Εὔας γητευτήν, τῇ τοῦ Σταυροῦ τῇ ἀρωγῇ, ἀνδρικῶς κατεπάλαισας. Δόλος μακαρία μηδείς, οὐδὲ τῆς πικρίας τὸ ποτήριον, τοῦ φαλαγγάρχου ἐτάρβησας· τάς τοῦ παγκάκου τε ἰοβολίας κρατερῶς, παννύχοις στάσεσιν καὶ εὐχῶν, ἐξακοντήσω ὡσεὶ ἡελίου αὐγάς. Ἔνθεν χαμάδις βομβησαμένη τὰ κρήδεμνα, ἐχθρῶν τε σθένος, ἀκάματον πῦρ ἀπέβεις, καὶ φόως Κυρίου ὑψιβρεμέτου.

Ἦχος δ΄.

Ὡς τῆς Εἰρήνης ἀκόλουθος, τὴν ἐπωνυμίαν ἐπαληθεύουσαν ἔδειξας, τῷ γὰρ ἀσκητικῷ βίῳ σου ἀφορῶσα, τὰ τῆς γαλήνης θριαμβευτικῶς ἐδίωξας, τῆς εἰς τὰ τέκνα σου ὑπομονῆς· ὅθεν μακαρισμῶν θείων τυχοῦσα, τῷ θησαυρῷ τῆς εἰρήνης, ὡς θησαυρὸς ἀπεταμιεύθης. Νῦν ἐπέλασον καὶ ἡμῖν, τῆς ἀραγοῦς γαλήνης τὴν δρόσον, ἄν πῶς τῶν δαιμόνων τὸ κὴρ ἐκτρίψωμεν, τῷ δὲ ὀρχάμῳ τῆς εἰρήνης, ἐν μετανοίᾳ προσπέσωμεν, Εἰρήνη Χρυσοδόξαστε, Ὁσίων ἀπεικόνισμα.

### Δόξα. Ἦχος πλ. α΄.

Τῇ λιγυφθόγγῳ καναχῇ, τῷ Βασιλεῖ προσεπέταξας, ὡς τέττιγξ μακαρία· ἔνθεν ὁσίως λιγύκλαγγε, μελίγλωσσον βίον συντάξασα, ὁσιοπρεπῶς κατεκοσμήθης· ὅντινα Θεὸς ἐλεήσει, ἔργα πολύφαντα τελεσφορήσει· τὰ μὲν ἄδηλα ἀῤῥήτως ἐπιστᾶσα, ὄμμα ἀρίγνωτον· ἁμέρας ὡς εὐφεγγέας τε, τὴν τῶν ἐσομένων τὰς ἁγνὰς νύκτας οὐκ ἔλαθες· δαιμόνων τὴν πληθὺν ἀταρβομάχησας καὶ τῶν ἀπορούντων τὸ φῆμα διετράνωσας· ὄλβιος γλυκειῶν αὐλῶν καναχή, ἄγαλμα ἰοστέφανον. Ὁσία οὖν χαριτοφερώνυμε, σεμνοδότειρά τε παρθένε, ἡμῶν κλέος ἄριστον.

### Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὰ Ἀπόστιχα. Ψάλλομεν στιχηρὰ προσόμοια.

### Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν ἀληθῶς.

Δράμοις, Χρυσοβαλάντου ἱρή, Καππαδοκίας τροπαιοῦχε κροκόπεπλε, ἡ ἔφορος Ὀρθοδόξων, ἁμαρτωλῶν στηριγμός, μοναστῶν ταμίας, ἡ πάνυ ἔμπεδος, φωστὴρ ὁ ἀείφωτος, χρυσεῖον ἐρύκακον, ἰοβολίων, τῆς κερτομίας κατάργησις καὶ ἡ ἄνεσις, μῆτερ ταύτης τῆς ποίμνης σου, σωτὴρ ἡ ἀρίδηλος καὶ μάνδρα αἰπήεσσα, ἡ θάρσει ἀήτῳ πέλει, ὀϊστοὺς τοῦ ἰόχειρος, Εἰρήνη κερασφόρε, μοναζόντων εὐφροσύνη καὶ σεμνολόγημα.

*Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.*

Ὄμβροις, δαψιλευούσα σεμνή, πολυδαίδαλα ἐπισταμένη ἀθλήματα, ἀκέστωρ τῶν ἀσθενούντων, ἁμαρτανόντων ζωστήρ, τῶν τε γουναζόντων ἡ βοήθεια, ὢ φάσγανον ἀργυρόηλον, ὢ ἔγχος δολιχόσκιον, Ὀρθοδοξίας τὸ σάκος τὸ ὄμβριμον, πολυτάλαντον, τῶν πενόντων ἡ τράπεζα, ῥύστης ὁ ἑτοιμότατος,

πιστῶν τῇ δυνάμει σου, ἐκ τῆς ἀλάστου κακίας καὶ τῆς χθονίου οἰήσεως, συῶν τῶν τῆς Ἄγαρ, ἐν τοῖς χρόνοις τοῖς ἐσχάτοις, ἀξιοτίμητε.

*Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.*

Ὕμνοις καὶ φιλεόρταις μολπαῖς, Εἰρήνην Χρυσοβαλάντου ὑμνήσωμεν, τὸν κῆπον τῆς εὐσεβείας, τὴν τῶν ναμάτων ῥοήν, τῆς τῶν Καππαδόκων τὴν ἡδύτητα, τὸ γλεῦκος τὸ ἥδιστον, τὴν ταλάεργον τέττιγαν, τὴν λιγύφθογγον παιπαλόεσσαν μέλισσαν· Ὅθεν προπὰν ἀθλήσασα, ὁσία ἐν σκάμματι, τῆς εὐλαβείας ἐδρέψω, τὰ πολυκέρδεα δράγματα, διὸ εἰς τὴν σὴν μνήμην, ἐρικυδέως ἐξυμνοῦμεν, τὸν σὲ δοξάσαντα.

**Δόξα. Ἦχος πλ. β΄.**

Λιτανεύσωμεν οἱ εὐλαβεῖς, τὴν Εἰρήνην τῆς τοῦ Χρυσοβαλάντου, τήν ἁγίαν πρόεδρον, τὸν πύργον τῆς εὐκοσμίας, τὸν κρουνὸν τῶν ἰαμάτων, τὴν ἀῤῥηκτον ἡμῶν παρηγορίαν, μελῳδιῶν τε ᾄσμασιν, ἐπευφημήσωμεν ᾄδοντες. Χαίροις ἡ χρυσόῤῥαπτις, τῶν ἁγίων τοῦ Σωτῆρος, ἡ τοὺς ὑπεναντίους ῥαπιζομένη, χαίροις ἡ χρυσοδερκής, τοῦ Χριστοῦ ἡμῶν ὁσία, ἡ τὴν σαθρὰν καί πάνυ ματαίαν, δόξαν μισήσασα· Χαίροις ὀρθοδόξων πρόμαχε, ἡ ἀπαλλάτουσα ἡμᾶς, ἐκ τῆς δουλείας θαυμαστῶς. Εἰρήνη Χρυσαθληφόρε, ἡ ἐν οὐρανοῖς βραβεῖα διδοῦσα ἀθλητικὰ, ἀεννάως ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον.**

Ὢ πῶς ἀνυμνήσωμεν τὴν Παρθένον Μαρίαν, ὢ πῶς ἐξυμνήσωμεν τὸν ἀλόχευτον τόκον, ὁ γὰρ ἀχρόνως ἐκ πατρὸς, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ προῆλθεν, τῆς ἀκηράτου Ἁγνῆς. Ἀσπόρως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων καὶ φύσει γενόμενος, ἄνθρωπος δι᾽ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως

γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.**

**Ἀπολυτίκιον. Ἦχος γ'. Θείας πίστεως.**

Σκάμμα ἔνθεον ἐπιποθοῦσα, δόξαν ῥέουσαν ὑπεριδοῦσα, δι' ἀσκήσεως ὁσία ἐκλάμψασα, ὡς οὖν Εἰρήνη τυχοῦσα τοῦ πόθου σου, ἐν ὁμονοίᾳ ὑμᾶς διαφύλλαττε, ἀξιάγαστε Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Ἦχος γ′ . Θεοτοκίον.**

Ὡς τὴν μεσιτεύσασαν, τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν σὲ Θεοτόκε Παρθένε, ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὁ φιλάνθρωπος.

**Ἀπόλυσις**

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Εἰς τὸ «Θεός Κύριος» τά ἐν τῷ Ἑσπερινῷ Ἀπολυτίκια, «Σκάμμα ἔνθεον»

Μετὰ τὴν α' στιχολογίαν, Κάθισμα.

**Ἦχος α'. Τόν τάφον σου Σωτήρ.**

Σωτῆρα ἀρωγόν, τὸν Ὑπέρθεον Λόγον, προέκρινας σεμνή, καὶ κατηύφρανας πάντας, Εἰρήνη Χρυσοβάλαντε, εὐωδίᾳ τῶν ἄθλων σου, δι' ὧν ἔδραξας, τοῦ παραδείσου τὰς κλεῖδας· Νῦν δὲ σήμερον, τὴν χρυσοφόρον σου μνήμην, ἀξίως ἑορτάζομεν.

**Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.**

Ὡς ῥόδον ἀγλαόν, Θεοτόκε Παρθένε, ἐκύησας ἁγνή, τὸν ἀκατάληπτον Λόγον, ἡμῖν δὲ προσπορίζουσα, τήν σωτήριον σίτισην καὶ ἐκβλυστάνουσα, τῶν ἰαμάτων τὴν χάριν· Ὅθεν ἅπαντες, ὡς μητέραν σὲ ὑμνοῦμεν, Θεοῦ ἐνανθρωπήσαντος.

Μετὰ τὴν β' στιχολογίαν, Κάθισμα.

**Ἦχος γ'. Τήν ὡραιότητα.**

Ζαθέῳ στέμματι, ἐν τῇ ἀσκήσει σου, Εἰρήνη Χρυσοστόλιστε, Χριστοκοσμούμενη, ταῖς οὐρανίαις δωρεαῖς, λαμπρῶς κατεστολίσθης· Ὅθεν ὡς μητέραν σὲ μοναζουσῶν σὲ ἀνέδειξεν ὁ Ὢν καὶ ὁ Ἐρχόμενος, ὁ κρίνων τὴν Οἰκουμένην, διὸ καὶ τῶν πιστῶν αἱ χορείαι, ὕμνοις σὲ γεραίρουσιν ἀοίδιμε.

**Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.**

Ἔνθεον τρύγημα, γλευκογλυκύτατον, πόμα τὸ ἥδιστον, τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι Θεοτόκε· Ποῖον

σοὶ ἐγκώμιον, προσαγάγω ἐπάξιον, τὶ δὲ ὀνομάσω σέ, ἀπορῶ καὶ ἐξίσταμαι· Διὸ ὡς προσετάγην βοῶ σοι, Χαῖρε ἡ κεχαριτωμένη.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.

**Ἦχος πλ. α'. Τόν συνάναρχον Λόγον.**

Μιμουμένη Εἰρήνη, τὸν θεῖον Πρόδρομον, τῆς Αἰγυπτίας Μαρίας τὰ θεαθλήματα, ὡς οὐρανότροφον πτηνὸν καὶ θεῖον ὄρνεον, οὐρανοχρόων μαρμαρυγῶν, νομίμως κατηξιώθης καὶ τιμητικῶς ἐπευφημοῦμεν, τὴν μνήμην σου τὴν θείαν σοφή.

**Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.**

Ἡ τὸν Σωτῆρα ἀσπόρως, κυοφορήσασα, τήν σωτηρίαν Παρθένε ἡ μεσιτεύουσα, λαμπροφανότατε ἀστήρ καί πύργε ἄμαχε, ἡ πρὸς αἰώνιον ζωήν, πάντας εἰσάγουσα, τοὺς Θεοτόκον ἀληθῆ, διακηρρύτοντας ἀεί, σοὶ πίστει τε ἐκβοώντας· Χαίροις τῶν οὐρανῶν ἡ δόξα καὶ τῶν βροτῶν τὸ διάσωσμα.

Οἱ Ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου· Ἐκ νεότητός μου. Προκείμενον·

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

*Στίχ. Καὶ ἔστησεν πέτραν ἐπὶ τοὺς πόδας μου.* Πᾶσα πνοή.

**Εὐαγγέλιον. Κατά Μάρκον.**

(Κεφ. η' , 34-38).

Εἶπεν ὁ Κύριος, ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτόν καί ἀράτω τόν σταυρόν αὐτοῦ, καί ἀκολουθείτω μοί. ὅς γάρ ἄν θέλῃ τήν ψυχήν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν, ὅς δ' ἄν ἀπολέσῃ τήν ἑαυτοῦ ψυχήν ἕνεκεν ἐμοῦ καί τοῦ εὐαγγελίου οὗτος σώσει αὐτήν. τί γάρ ὠφελήσει ἄνθρωπον ἐάν κερδήσῃ τόν κόσμον ὅλον, καί ζημιωθῇ τήν ψυχήν αὐτοῦ; ἤ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; ὅς γάρ ἐάν ἐπαισχυνθῇ με καί τούς ἐμοῦς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καί ὁ υἱός τοῦ

ἀνθρώπου ἐπαισχυνθήσεται αὐτόν ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρός αὐτοῦ μετά τῶν ἀγγέλων τῶν ἁγίων. Καί ἔλεγεν αὐτοῖς, ἀμήν λέγω ὑμίν ὅτι εἰσί τινές τῶν ὧδε ἐστηκότων, οἵτινες οὐ μή γεύσωνται θανάτου ἕως ἄν ἴδωσι τήν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

Ὁ Ν΄ ψαλμός, Ἐλέησόν με ὁ Θεός.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου· ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διαπαντός. σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. ῥαντιείς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ. ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ· τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Δόξα.**

Ταῖς τῆς σῆς Ὁσίας, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Εἶτα, στιχηρὸν ἰδιόμελον.

**Ἦχος πλ. β′. Ὅλην ἀποθέμενοι.**

*Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

Νάματα ἰάματα, ἐν τῇ ἁγίᾳ ζωῇ σου, Εἰρήνη ἐκτελέσασα, ἄθλοις ἀξιάγαστε ἐξεκέρδησας· καὶ τανῦν πάνσεμνε, Χριστῷ παρεστῶσα, οὐρανίοις κλισίοις κατενόστησας, φάρος δὲ ἀργύφεον, νυμφικόν μέγα φέρουσα· ὅθεν σοι βοῶμεν, Εἰρήνη ὁσίων ἴφθιμος ἀλκή, πρέσβευε γουνόμεθα, τοὺς σὲ πανυγηρίζοντας.

Ὁ Ἱερεύς: Σῶσον ὁ Θεός, τὸν λαόν σου. Κύριε, ἐλεησον (*ιβ′*).

Εἶτα οἱ κανόνες τῆς Θεοτόκου.Ὑγράν διοδεύσας.
Καὶ τῆς Ὁσίας ὁ παρών οὗ ἡ ἀκροστιχίς: «Ἐριδήλω Ἀρωγῷ Εἰρήνῃ, Αἶνος Δημητρίου».

**Ὠιδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.**

Ἐλέησον μὲ Κύριε, ταῖς νοηταῖς σου ἑλλάμψεσι, πρεσβείαις τῆς Ὁσίας σου, τον νοῦν μου στήριξον καὶ παράθεσον τῷ στόματί μου λόγον, ὅπως ἂν πλέξω Δέσποτα, ταύτης τὰ θαύματα.

Ῥακένδυτος κέκλειμαι, ῥερυπωμένος κατάκειμαι καὶ δάκρυα κέχυμαι, ἐν τῇ καρδίᾳ πικρά· καὶ πανύπλεος, παθῶν τε λογισμῶν τε, Σύ τούτους ἀπέλασον, Μῆτερ πανύμνητε.

Ἰλέωσαι τὸν Κύριον, τὸν ἀρχηγὸν τῆς ζωῆς ἡμῶν καὶ τοῦτον ἱκέτευσον, μετὰ πρεσβείας θερμῆς, ὅπως ἂν τύχω νῦν, ὁ δοῦλος σου Εἰρήνη, εἰρήνης τὸ τρόπαιον, τῇ ἀντιλήψει σου.

Θεοτοκίον.

Δικαίως ὢ Δέσποινα, ὁ τάλας κατάκριμαι, πολλὰ γὰρ παρόργισα, τὸν εὔσπλαγχνον Κύριον, ἀλλ' ἱκέτευε, τὸν σὸν υἱὸν Παρθένε, ἐμοῦ πάλιν φείσασθαι, τοῦ τρισαθλίου δούλου σου.

**Ὠιδὴ γ'. Ἦχος δ'. Τοὺς σοὺς ὑμνολογους Θεοτόκε.**

Ἠὼς ῥοδοδάκτυλος Ὁσία, διάλυσον ἅπαντα δεινά, λύτρωσιν τε εἰρήνην τε, ἁρμονικῶς δαψίλευσον, παντοδαπᾶς ἰάσεις τε, ἀκραδαπάνως μεσίτευσον.

Λῶμα πολύπτυχον Ὁσία, ἡ νύμφη ἡ χριστοεκλεκτή, τό πέπλον τὸ τανύπεπλον, τό πάνυ τε κροκόπεπλον, ἀεί ὁσίων καύχημα, παρθένων γέρας οὐράνιον.

Ὠφθεῖσα ἡμῖν τοῖς ἀναξίοις, ὡς σάκος τε ζῶμα φαεινόν, ἄρουρα ἡ εὐζείδωρος, ἀγγελικὸν ἀνάπυστον, ἐν τοῖς ἐνθέοις διδάγμασιν, οὐράνιον ἄρτον κομέουσα.

**Θεοτοκίον.**

Ἄφθορε ἀκήρατε Παρθένε, τὰς φάλαγγας πάντων τῶν ἐχθρῶν, θᾶσσον ἐφορμήσασα, περικλυτῶς κατάβαλλον καὶ ἐν τῇ θείᾳ μνήμῃ σου, βελτέρων ὕμνων ἡμᾶς ἀξίωσον.

**Κάθισμα .Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ ἑκουσίως.**

Τόν νυμφίον σου, Χριστόν, προτιμήσασα καὶ τὴν ψυχήν σου, εὐπρεπῶς ὡραΐσασα, ταῖς ἀρεταῖς διέλαμψας, Εἰρήνη χρυσόλαμπε, ὅθεν εἰσελήλυθας, σὺν αὐτῷ εἰς τοὺς γάμους, στέφος δὲ ἀσκήσεως, παρὰ Χριστοῦ δεξαμένη, ἀπὸ παντοίων νῦν κινδύνων, λύτρωσον ἡμᾶς, τοὺς ἐκτελοῦντας, ἐν πίστει, τὴν μνήμην σου.

**Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.**

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοί, νῦν προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς, Δέσποινα βοήθησον, ἐφ' ὑμὶν σπλαγχνεισθεῖσα, σπεῦσον ἀπολλύμεθα, ὑπὸ πλήθους πταισμάτων, μὴ ἀποστρέψῃς, σούς δούλους κενούς, σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

**Ὠιδὴ δ'. Ἦχος δ'.Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.**

Ῥήσεις ἡδυμόλπων ἐπῶν, ἔμπλησον τὴν καρδίαν μου ἁγνή, τῆς θείας δηλώσεως, ὢ τῆς εἰρήνης θυρεέ, ἐκπεπλαγῶς κραυγάζω σοι, πάντας τῷ Θεῷ, Μῆτερ σύναψον.

Ὠδαῖς πῶς ὑμνήσω σὲ τερπνή, πῶς τὴν βιοτὴν ἐκθειάσω σοι, τῆς σῆς σεμνότητος, ὁ τῶν φρενῶν ὁ ἐνδεής, ἁμαρτιῶν κοσμήτωρας, πλὴν ἐν μετανοίᾳ δέξον μὲ Κύριε.

Γάμους ἡ ὁπλίσσασα ἐν οὐρανοῖς, τῶν τε ἀγγέλων τὰ δώματα, δόξαν δὲ τῶν μερόπων, καταλιποῦσα τὴν χοϊκήν, κατονοῶντες κράζωμεν, καὶ ἡμῖν μονὰς ἑτοίμασον, εὔσπλαχνε Κύριε.

**Θεοτοκίον.**

Ὢ τὸ ἀργυρόπεζον κλέος καὶ ἐσθλόν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ἡδίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε, δόξα τῇ δυνάμει σου Κύριε.

**Ὠιδὴ ε'.Ἦχος δ'. Ἐξέστη τὰ σύμπαντα.**

Ἐξέστη τὰ πέρατα, ἐπὶ τῇ θείᾳ νήψει σου, σύ γὰρ ἀπειρόδοξε Εἰρήνη, ἔσχες ἐν θλίψει, τῶν ἐπὶ γῆς ἀρετῶν, καὶ τέτυχας ὄβρυζον χρυσόν, πᾶσι τοῖς ὑμνοῦσι σε, αφειδώλως παρέχουσα.

Ἰφθίμως ἐπάλαισας, Ὁσία ἐν τῇ ἀσκήσει σου, σύ γὰρ χρυσοβάλαντε Εἰρήνη, τρίβουσα ἐν νήψει, κατὰ ἀοράτων λογισμῶν, ἐτέλεσας ἆθλημα λαμπρόν, πᾶσι τοῖς ὑμνοῦσι δέ, αἴγλην τὴν θείαν ἐξανατέλουσα.

Ῥεόντων ἐφήμερα, μετὰ πανσόφου φρονήσεως, ἀφῆκας πεπνυμένη Εἰρήνη, ὄλεθρον αἰπὺν καὶ τῶν γηΐνων σποδόν, καὶ τέτυχας θείων τε μονῶν, πᾶσι δὲ τοῖς ὑμνοῦσι σέ, κατοικίας ἐγείρουσα.

### Θεοτοκίον.

Ἡ Κόρη ἡ πάναγνος, ἐπὶ τῇ σῇ ἀσκήσει τε καὶ τῶν παλαισμάτων σου, ἃς ἔσχες ἐν θλίψει, τοῖς ἐπὶ γῆς πειρασμῶν, ἐθαύμαζε τῶν σῶν ἀρετῶν, πᾶσι τοῖς ὑμνοῦσι σέ, νόστιμον ἦμαρ, παρέχουσα.

### Ὠιδὴ Ϛ'. Ἦχος δ'.Τὴν θείαν ταύτην.

Νηὺς εὐεργέα ἡ ἐΰσσελμος, ὁρῶσα οὖν Εἰρήνη ὡς ῥέοντα, πάντα τὰ γήϊνα, δίκην κνωδάλων ἀπέπτυσας, ἵνα Χριστὸν κερδίσης, ὃν ἐπεπόθησας.

Ἠὼς ἐφάνης ὡς ἠριγένεια, ἀγγέλων Εἰρήνη φαόφρονε, κνέφας δαιμόνων δέ, ὡς πάνυ τερπικέραυνος καί τὰς ἐξ αὐτῶν πλεκτάνας, μακρὰν ἀπεδίωξας.

Ἀγῶνας, ἱδρῶτας καὶ δάκρυα, ἤματα πάντα ὁμίλησας, βέλη δὲ τὰ πύρινα, τοῦ Βελίαρ ἀπέκρουσας, σελασφόρε Εἰρήνη, αἴγλη τοῦ θείου πνεύματος.

### Θεοτοκίον.

Ἰησοῦν Χριστὸν ἡ τέξασα, Παρθένε Παναγία Θεόνυμφε, φωτὸς στεροπήν, δεῦτε τὸ φάρος ὑμνήσωμεν, ὡς τὴν χρυσοῦ φανεῖσαν, μαρμαρυγὴν τὴν ἔκπαγλον.

### Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως.

Τῷ ἐν Τριάδι εὐλαβῶς γουνομένῳ, Εἰρήνη σεμνὴ προτιμήσασα, τὰ τῶν δαιμόνων κατέραξας τεχνάσματα, μέσον δὲ τοῦ σκάμματος, ἐναθλοῦσα θέοφρον, ἀνδρειοφρόνως ἐμβλέπουσα ἀεί, τῶν αἰωνίων καὶ θείων τὴν ἀπόλαυσιν.

## Ὁ Οἶκος

Τήν τοῦ Χριστοῦ τὴν ἀμνάδα Εἰρήνην, ἐν μετανοίᾳ πάντες τιμήσωμεν, ἵνα ταῖς αὐτῆς δεήσεσιν, μετὰ πάντων τῶν ἁγίων, ἀξιοθῶμεν, τῶν αἰωνίων καὶ θείων τὴν ἀπόλαυσιν.

## Τὸ Συναξάριον.

**Τῇ ΚΗ' τοῦ αὐτοῦ μηνός, μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Εἰρήνης τῆς Καππαδόκου καὶ θαυματουργοῦ, τῆς ἐν τῇ Μονῇ τοῦ Χρυσοβαλάντου ἀσκησάσης.**

## Στίχοι

**Θεῷ εἰρηνεύσας, τὰ οὐράνια κάρηνα ἀεὶ παπταίνουσα,**

**Κλιτὺν ἀσκήσεως ἀναβᾶσα, ἴρηξ ὣς ἄλτο,**

**Οὐρανοῦ δὲ ἐκκατεπᾶλτο δι᾽ αἰθέρος,**

**Ὅτ' εἰκάδι ὀγδοάτῃ παραδείσου ἐσᾶλτο τὰς πύλας.**

**Ἧς ταῖς ἀεννάοις πρεσβείαις, εἴημεν ἅπαντες,**

**τοῖς θείοις παραγγέλμασιν, προσκαρτερικῶς ἐχεφρονοῦντες. Ἀμήν.**

## *Ὑπόμνημα*

*καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ*

**Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

## Ὠιδὴ ζ'. Ἦχος δ'. Οὐκ ἐλάτρευσαν.

Νοῦν ἐχέφρονα ἐκτήσω καὶ θεόφρονα, μηδόλως ἀφρονήσασα, ἀλλὰ τιμὴν βασιλικήν, ἀνδρείως πατήσασα, χαίρουσα ἔψαλλες· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Οὐκ ἐλάτρευσας τῇ φύσει ὡς οἱ χοόφρονες, παρὰ τὸν Κτίσαντα, θείου δὲ φωτὸς τήν στεροπήν, ἡδέως τιμήσασα,

χαίρουσα ἒκραζες· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Σειράς πταισμάτων μου, ὡς χνοῦν ἀεὶ διάρηξον, λύμην δὲ λῦσον Ὁσία, φωτὸς δε θείου συμμετοχήν, δωρεὰν μεσιτεύουσα, χαίροντες ᾅδωμεν· Χρυσοβάλαντε, τῶν μοναζόντων φάσγανον καὶ ἡμῶν τό στήριγμα.

**Θεοτοκίον.**

Δέους πέπλησμαι ἁγνὴ Παρθένε Δέσποινα, βοῶ δὲ σάωσον, ὁμοῦ τρυφῆς ἀγαστῆς, ῥᾳδίως τε ἡμᾶς ἀξίωσον, ἡ τὴν πηγὴν ἡ κυήσασα, τῆς αἰωνίου ὄντως ζωῆς, ἔτι ᾠδὰς ἀξίως τίσαντας, χαίροντάς τε μέλποντας· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

**Ὠιδὴ η'. Ἦχος δ'. Παῖδας εὐαγεῖς.**

Ἤχθης πρὸ βημάτων Εἰρήνη, αἰτοῦντος τοῦ βασιλέως παρά σοί, τὰ νυμφοκελεύσματα, τότε τὴν ταπείνωσιν, Μῆτερ πρόπαν ἠγάπησας, ὑψῶθεν ἄγουσαν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Μῆτερ ἑλκεσίπεπλε ὁσία, ὡς νύμφη κεκοσμημένη Ἰησοῦ Χριστοῦ, ἔσχες τοὺς ἀγῶνας σου, νῦν δὲ τὸν νυμφῶνα σου, ἀσμένως τέρπεσαι, τὸν Κύριον ὑμνεῖτε βοῶσα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἥρας θεοειδῶς τὰ ὄμματά σου, τὸν τόκον τῆς Θεοτόκου καταλιλαίουσα, τότε γόνυ κλίνουσα, νῦν ἰάσεις βρύουσα, τὴν οἰκουμένην ἅπασαν, ἐγείρεις ᾄδουσαν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

**Θεοτοκίον.**

Τέκνον Καππαδόκων χαρᾶς τό κρῖνον, ὁ τόκος σου Θεοτόκε ἐλυτρώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν

οἰκουμένην σύμπασαν, ἀγείρει ψάλλουσαν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

## Ὠιδὴ θ'. Ἦχος δ'. Ἅπας γηγενής.

Ῥώμην καὶ ἰσχύν, εἰρήνην εἰς πάντα τὰ τῆς αἴας πέρατα, ἡμῖν ἐπιδαψίλευσον, ἐόντων θοῶν, πόνων ὑπόδικοι, ἀμογητὶ δὲ στᾶντες τῇ βοηθείᾳ σου, σοί τε βοῶμεν, Χαίροις Εἰρηνώνυμε, γλεῦκος ἀγλαὸν πάνυ ἄκρητον.

Ἴσθι μέθ' ἡμῶν, τρισάγιε Λόγε τρισπαμπολυέλεε, τὰς τῆς διανοίας μου, αὐλοὺς νῆας πᾶσας κελεύθους τε, ἀνομιῶν εἰσέτι δὲ τὴν πλήρην ἄφεσιν, ἵνα ἐροῦμεν· Χαίροις χρυσοβάλαντον, Καππαδόκων τερπνὸν ἄνθος εὔοσμον.

Ὅλη τῇ ψυχῇ, τὸν Κύριον ἠγάπησας νενυμφευόμενη, βίου δὲ σεμνότητι, ἀσπέτων μόγων, ἰώκά τε δακρυόεσσαν, νῦν ἐξέχεε τὸν ἰόν, ἡμῶν τὸν ὀδυνήφατον, καὶ φοινήεντα· ἕρκος ἀδαπάνητον, Εἰρήνη κλεινὴ ἀξιάγαστε.

## Θεοτοκίον.

Ὕψωσον ἡμῶν, εὐνῶν κεκλιμένων χθαμαλοχθόνων τε, τὸν νοῦν καὶ τὴν διάνοιαν, ἀεί τε κῦδος πάντας προσόπαζε καὶ αἰωνίου λάμψεως τῆς πολυμήτιδος καὶ αἰδίου· θείας πολιτείας τε, Θεοτόκε Ἁγνὴ ἀειπάρθενε.

## Ἐξαποστειλάριον. Ἦχος δ'. Γυναῖκες ἀκουτίσθητε.

Λιπών κλέος ἐφήμερον, Εἰρήνη ἡ παναοίδιμος, καὶ τῷ Χριστῷ προσελθοῦσα, ὑπὲρ αὐτοῦ ἠγωνίσω, στορέσασα δὲ πήματα, πυρόχρυσα ἐδέδραξας, δῶρα κλυτά τε καὶ θεῖα, νημερτέα δὲ Μῆτερ, θυῶδες μυροδοχεῖον.

## Θεοτοκίον.

Εἰρήνη ἡ Εἰρηνώνυμος, σεμνὴ τε καλλιπάρθενος, τοῦ σοῦ υἱοῦ Θεοτόκε καὶ Βασιλέως τῆς δόξης, τρωθεῖσα θείῳ ἔρωτι, ὀσιακῶς

ἠγώνισται, μεθ' ἧς ἀλάστως πρέσβευε, Θεοκυῆτορ Παρθένε, ὑπὲρ τῶν σὲ ἀνυμνούντων.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχους δ' καί ψάλλομεν στιχηρά προσόμοια.

**Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.**

Τῆς Εἰρηνωνύμου Ὁσίας τὴν μνήμην σήμερον, φαιδρῶς ἐπιτελοῦντες, ἀνακράξωμεν πάντες· τρυφάς τάς σωτηρίους· ὤνια ἀγλαά, τῷ Κυρίῳ συναίτησον, ῥερυομένους τε πόνων καί συμφορῶν, Ἡγουμένη, ἡμᾶς κατάστησον.

*Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.*

Καππαδοκίας τὸ κλέος ἄνθος τερπνότατον, οἱ σέ σεμνῶς τιμῶντες, ἀνακράξωμεν πάντες, ἀσκήσει ἐτελειώθης· τῶν κορυφῶν, κυπαρίσσων ἡ κλίνουσα, ἱκετερίων εὐχῶν σου, τοὺς εὐλαβεῖς, σωζωμένους, παρασκεύασον.

*Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι καὶ ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου.*

Χρυσοβαλάντου τὸ κῦδος χρυσοηδύτατε, τὴν χάριν τῆς Τριάδος, τοῦ Ἀποστόλου τὸ δῶρον, ὁσία ἡμῶν Μῆτερ· μήλων Ἐδέμ, ὧν ἐδέξω τὴν κόμισην, δεσμωτηρίων τῆς Εὔας, καὶ τοῦ πυρός, ὡς ἀντίλυτρον, ἡμῖν δαψίλευσον.

*Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι.*

Τήν τῶν δαιμόνων μανίαν καὶ ἰταμότητα, πειρατηρίων θλίψεις, ἀκαθάρτων πνευμάτων, ἀράχνης ὡς ἱστίον· ἀναφανδόν, κατηκρήμνισας πάνσεμνε, ἐπεὶ ἀγγέλων θείων, πανευλαβῶν, κατεδέξω τὴν ἐνέργειαν.

**Δόξα. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν ἀληθῶς.**

Χαίροις τῆς Καισαρείας βλαστέ, ἡ ἐξ Ἑῴας ὡς ἀστὴρ ἀνατείλασα, καὶ πᾶσαν τὴν οἰκουμένην, φωταγωγοῦσα φαιδρῶς, ψυχῆς διαυγείᾳ καὶ σεμνότητι· δι' ἧς θεῖα θέσφατα, τῶν ὁσίων πεπλήρωνται καὶ καθηρέθη, ἀκαθάρτων νοῶν ἡ δύναμις, κοκοφρόνων τε, ὀλεθρίων καὶ δύσμοιρων· Χαίροις ἡ ἀργυρότοξος, τὰ βέλη ἡ τείνουσα, καθαρτικά μολυσμάτων, τῆς ἀμφηρεφέης φαρέτρης σου, Χριστοῦ τῇ δυνάμει, τοῦ παρέχοντος τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον.**

Μακαρίζομεν σέ, Θεοτόκε Παρθένε καὶ δοξάζομεν σέ, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου.

Εἰς τὴν Θείαν Λειτουργίαν. Ἀπόστολος. Προκείμενον.

*Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.*

*Στίχ. Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός.*

**Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.**
(Κεφ. γ΄ 23, δ΄1).

Πρὸ δὲ τοῦ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν. πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ ᾿Ιησοῦ· ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. οὐκ ἔνι ᾿Ιουδαῖος οὐδὲ ῞Ελλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ ᾿Ιησοῦ. εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ ᾿Αβραὰμ σπέρμα ἐστὲ καὶ κατ᾿ ἐπαγγελίαν κληρονόμοι. Λέγω δέ, ἐφ᾿ ὅσον

χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν.

**Ἀλληλούϊα. Ἦχος α΄.**

*Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.*

*Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.*

**Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον.**
(Κεφ. κε΄ 1-13)

Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί. αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν οὐκ ἔλαβον μεθ᾽ ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· μήποτε οὐκ ἀρκέσει ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

**Κοινωνικόν.**

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

## Μεγαλυνάρια.

Δίδου τρυχωμένοις ἀπαλλαγὴν καὶ τοῖς ἀσθενοῦσι, ἰατρείαν ἐρατινήν καὶ πολεμουμένοις τὴν ἄσπετον εἰρήνην, Εἰρήνη Θεοφόρε, Πνεύματος σκήνωμα.

## Ἕτερον Μεγαλυνάριον.

Ἀνάκτων ζητοῦσα ἀπαλλαγὴν καὶ τοῖς ἀναξίοις, εὐλογίαν ἀληθινὴν καὶ διωκομένοις τὴν ἄλαστον εἰρήνην, Χρυσοβαλάντου Εἰρήνη, Πνεύματος σκήνωμα.

## Δίστιχον.

Εἰρήνη ἀγγελοειρηνώνυμε, Δημητρίου πρόσδεξαι λιτὰς μολπὰς.

Ἐπερατώθη, σὺν Θεῷ ἁγίῳ, ἡ παροῦσα ἀκολουθία, διά χειρός Δημητρίου Γ. Μαυρίδου, ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας, Ἁγίου Ὄρους Ἄθω καὶ ἐν Νέοις Ἐπιβάταις Θεσσαλονίκης, τῇ κη' Ἰουλίου ͵βιγ' (2013).

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

## ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ & ΘΕΟΦΟΡΟΝ ΜΗΤΕΡΑ ΗΜΩΝ

# ΕΙΡΗΝΗΝ, ΚΑΘΗΓΟΥΜΕΝΗΝ

## ΤΗΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΠΕΡΙΠΥΣΤΟΥ ΜΟΝΗΣ

## ΤΟΥ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ

*(ἑορταζομένης τῇ κη΄ / 28η Ἰουλίου)*




Ὁσία Εἰρήνη Χρυσοβαλάντου: διὰ χειρὸς Εἰρήνης Δ. Μαυρίδου (ἐτῶν 12)




Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμὸς 142 (ΡΜΒʹ)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

**Ἦχος δ'.**

**Θ**εός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

*Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.*

**Θ**εός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

*Πάντα τά ἔθνη ἐκύκλωσαν μέ, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

**Θ**εός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

*Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

**Θ**εός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα τὰ παρόντα τροπάρια.

**Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

**Ω**ς στεφηφόρον ἀληθῆ τοῦ παντάνακτος, ἁμαρτωλοὶ καὶ ταπεινοί, σοὶ προσπίπτωμεν ἐν μετανοίᾳ, κράζοντες ἐκ βάθους ψυχῆς, Τρίσμητερ εἰρήνευσον ἐφ' ἡμῖν σπλαγχνισθεῖσα, στόρεσον, δεόμεθα τοῦ Βελίαρ τὰ βέλη, καὶ παραδείσου ἄνοιξον ἡμῖν, ταῖς σαῖς πρεσβείαις, τὰς πύλας, ἀμάχητε.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

**Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

**Ψ**αλμωδικῶς σοι Εἰρήνη προσάδωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοί, καὶ προσπέσωμεν ἀναβοῶντες καὶ κράζοντες ἐκ βάθους ψυχῆς, τάχιστα, βοήθησον ἐφ' ἡμῖν σπλαγχνισθεῖσα, γέμοντες, ποντούμεθα ὑπὸ βάρους πταισμάτων, κούφισον τοὺς δούλούς σου κενούς, σύ γὰρ ὑπάρχεις κρηπὶς καὶ κραταίωμα.

*Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Οὐ σιωπήσωμεν πότε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τὶς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τὶς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ, σούς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

## Ψαλμός Ν' (50)

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἶτα ψάλλεται ὁ κανών, οὗ ἡ ἀκροστιχίς.
*«Εἰρήνην ἀΐδιον ἡμῖν ὁσία ὤνησον. Δημητρ(ίου)»*

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.**
*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Εἰρήνης τὸν Κύριον καὶ Θεόν, Εἰρήνη ἱκέτις, ἀρωγός τε καὶ πρεσβευτὴς ἀεὶ αἰτοῦσα μεσιτείαν, τοῦ πονηροῦ ἀποφεύγειν τὰ σκάνδαλα.

*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἰάματα βρύεις παντοδαπά, νοσήματα διώκεις, τῶν σωμάτων καὶ τῶν ψυχῶν, πνευμάτων δολίων ἀκαθάρτων, τοὺς μελωδούντας σοὶ Μῆτερ, ἀπάλλαξον.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Ῥεῖθρον ἀργυρόδινον πνευματικόν, ψυχὰς γαληνεῦον, πόμα τὸ πάνυ καθαρτικόν, ἐπίσταξον Μῆτερ οὐρανόθεν καὶ τοὺς ἰοὺς τῶν παθῶν μου ἀπόπλυνον.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Θεοτοκίον.

Ἥρμοσας τὸν Κτίστην σου τοῖς κτιστοῖς, ἄκουσμα τὸ ξένον, συλλαβοῦσα ἐν σῇ γαστρί, τὸν Κύριον τῆς Δόξης ἀσυγχύτως, εἰς σωτηρίαν ἡμῶν Μητροπάρθενε.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**
*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Νεκρωθεῖσα τῷ κόσμῳ, ἀσκητικῶς πάνσεμνε, καὶ τῶν ἐφημέρων γλυκέα, λίαν κατέπτυσας, νῦν ἐπὶ πόλου δέ, οἴκους προσετοιμάζεις, τοῖς σὲ ἀεὶ δαυϊτικῶς ἀναμέλποντας.

*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἠρασθεῖσα τὰ κρείττω, μοναδικῶς ἔστερξας, βίον τε καὶ ἔνθεον λατρείαν, ἄνωθεν ἄγουσαν, τὴν δὲ πορείαν μου, τῶν πρε-

σβειῶν σου δυνάμει, τὴν πάνυ σκολίαν, εὐθεῖαν ἀπέργασον.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Νυμφευθεῖσα τὸν Κύριον, ἀναφανδὸν τέμνουσα, δόξαν βασιλέων γηΐνων, πόῤῥωθεν βάλουσα, τρυφῶν στενότητα, πρὸς θησαυρὸν βασιλείας, ἐν τοῖς οὐρανίοις δώμασι, πάνυ μετήλλαξας.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Θεοτοκίον.

Ἀπροσμάχητον ἕρκος, Θεοῦ ἱερὸν παλάτιον, θρόνε τετυγμένε ἀφράστως, ἀργυροχρυσοήλατε, κακῶν συμπτώσεων, πρὸς κουφισμόν ἁμαρτίας, τὸν βίον μου κατεύθυνον χρυσοπλοκώτατε.

Διάσωσον ἀπὸ πλάνης τοὺς δούλους σου, ὢ Εἰρήνη, ἐχθροῦ τοῦ δολίου καὶ παναλάστορος, ὡς ἔχουσα παῤῥησίαν, Εἰρηνοβραβεύτως.

Ἐπίβλεψον ἐν εὐμενεία, πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν του σώματος κάκωσιν καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

Ὁ ἱερεύς. Ἐλέησον ἡμᾶς. Ὁ χορός. Κύριε, ἐλέησον (ἐκ γ').

**Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.**

Εἰρήνη σεμνή, ὑδρία θεόβρυτε, ναμάτων πηγή, ψυχῶν καταφύγιον, τῶν λογισμῶν σκοτόμαιναν, πᾶσι ποντοίως πάντοτε, εἰρηνικῶς ἀπαλλάτουσα, καὶ τῷ Κυρίῳ ἡμᾶς ἀεὶ προσαρμόζουσα.

**Ὠδή δ'. Εἰσακήκοα Κύριε.**

*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἱλαρῶς ἱκετεύω σε, κένωσον ὁσία τὸν νοῦν μου πάντοτε, ἀταξίας καὶ οἰήσεως καὶ ἀναλγησίας Χρυσότιμε.

*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Δαψιλῶς δίδου ὤνησιν, παρεόντων τὸ σύστημα, Χρυσοβάλαντε, τῶν κυκλούντων τῇ κλήσει σου καὶ τιμώντων Εἰρήνη τὴν μνήμην σου.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Ἱλασμοῦ στρέψον ὄμματα, ὄλβιον τέκος γλυκυδωρόθεον καὶ τὸν πόθον ἡμῶν βλέπουσα, Εἰρήνη ἀγγελώνυμε, ἐξ ἀναγκῶν καὶ δεινῶν ἡμᾶς λύτρωσαι.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

**Θεοτοκίον.**

Ὁ Θεὸς σεσωμάτωται, ἐν τῇ μήτρᾳ Σου Πανάχραντε Δέσποινα, Θεοτόκε, Ἀειπάρθενε, τῶν παγκακίστου βελῶν με λύτρωσαι.

**Ὠδή ε΄. Φώτισον ἡμᾶς**

*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Νεῦσον ἐφ' ἡμῶν, ὀφθαλμῶν τὰ πάθη ἔκπλυνον καὶ τὴν σαγήνην ἡμῖν χάρισαι, ὅπως νικῶμεν τὰς μηχανὰς τοῦ παναλάστορος.

*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἥμαρτον βοῶ, Ἡγουμένη ἱλαρόβρυτε, ἑνὶ ἑκάστῳ αἰτουμένη μητρικῶς, τῶν ἐσφαλμένων, λυσιτελήν ἐπανόρθωσιν.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Μῆτερ μητρικῶς, ἀξίους ἡμᾶς καλῶν ἀπέργασον, ἵνα ἀρυόμεθα νάματα ζωῆς, θανάτου λύτρον, ἀθανασίας μῦρον εὔοσμον.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Θεοτοκίον.

Ἰατὴρ τῆς ψυχῆς, ἀνεδείχθης Παναμώμητε, διὸ διάρηξον τῶν παθῶν μου τὰς πηγὰς καὶ τὸν νοῦν μου καλιῤῥοοκέλευθον ποίησον.

**Ὠδή στ'. Τήν δέησιν.**

*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Νοήσαντας, τῆς ἀκλαύτου ἡμέρας καὶ θανάτου στυγεροῦ ἀλιπορφύρου, τάς τε συγχύσεις, ὁσία θεία μῆτερ, τὴν εἰς ἄνω πορείαν μου στήριξον, πρὸς ἐκστρατείας ἀτραπόν, ἐν πίστει ἀκραδάντῳ ἠνοχίευσον.

*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ὀλισθήματα, τῆς ψυχῆς πάνσεμνε καὶ τὰ πάθη τῶν πιστῶς σὲ ὑμνούντων, ἴασαι σεμνή, ἵνα τηρῶμεν βίον, τὰς διαβολὰς τοῦ πονηροῦ ἐκδιώκοντες, ὁδοῖς τε εὐθείαις ὁμοῦ, τὸ χρυσοβάλαντον ἒξωμεν ἄεθλον.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Σιτάρχησον, τοῦ λαοῦ τὰ πλήθη, καὶ ἀρχόντων Χρυσοβαλάντου Εἰρήνη, ἅμα τε ἡμῶν, ἀταλαντεύτως τε θείως, τὰς προσπαθείας ἡμῶν ἀεὶ ἐνθάῤῥυνον, ἄχρι τὰς πύλας τοῦ Θεοῦ, πανοικεῖ οἱ γηγενεῖς προσπελάσωμεν.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

**Θεοτοκίον.**

Ἰφθίψυχε, Σεμνοχαρίτωτε Κόρη, ἰφθίμους στεῤῥούς τε συντήρησον, ὅπως πάντες ἡμεῖς, διαβόλου ἀπάτης, μηδενικὴν σχέσιν ἔχειν ἀνάξιον, ἀνένδοτον δὲ πρὸς Θεόν, τὴν πολιτείαν ἡμῶν διαφύλαξον.

Διάσωσον ἀπειρόδοξε Μῆτερ, ἀπὸ πάσης τοῦ πονηροῦ πληγῆς, τούς σοι καταφεύγοντας, καὶ πέλε ἡμῖν, Σὴν μητρικὴν υἱοθεσίαν.

Ἄχραντε, ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικήν παρρησίαν.

Αἴτησις καί τό Κοντάκιον.

**Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.**

Προστασία τῶν ἁμαρτωλῶν Χρυσοβάλαντε, μεσιτεία πρὸς τὸν Σωτῆρα παναρίδηλε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων κραυγάς· ἀλλὰ σύντρεξον ὡς ἱλαρή, εἰς τὴν διόρθωσιν ἡμῶν, τῶν πικρῶς κραυγαζόντων σοί· πρόφθασον ὢ Εἰρήνη καὶ ὅπασον τοῖς σοῖς δούλοις, διόρθωσιν πνευματικὴν καὶ λατρείαν ἀδιάλειπτον.

Καί εὐθύς τό Προκείμενον.

Ὑπομένων ὑπέμεινα τόν Κύριον καί προσέσχε μοί καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

*Στίχ. Καί ἔστησεν ἐπί πέτραν τούς πόδας μου καί κατεύθυνε τά διαβήματά μου.*

**Εὐαγγέλιον. Κατά Μάρκον.**

(Κεφ. η', 34-38, Κεφ. θ' 1).

Εἶπεν ὁ Κύριος· Ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. [35] ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ἑαυτοῦ ψυχὴν ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν. [36] τί γὰρ ὠφελήσει ἄνθρωπον ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; [37] ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; [38] ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων. [1] Καὶ ἔλεγεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν ὅτι εἰσί τινες ὧδε τῶν ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

Ἦχος β'.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Ταῖς τῆς σῆς Ὁσίας πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. *Ἐλέησον με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

**Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.**

Φρόνημα ἀσάλευτον, ἰφθίμῳ τε καρδία, τῇ στεῤῥᾷ ἀσκήσει σου καὶ ἡμᾶς στερέωσον Εἰρηνώνυμε, τῶν πολλῶν θλίψεων, τὰς ἐπαναστάσεις, κατάτηξον καταπάταξον, ἅπαντα πάντοτε, πάσης χαλεπῆς περιστάσεως καὶ νόσων καὶ παθήσεων καὶ τῶν πονηρῶν καταστάσεων καὶ πάσης ἀνάγκης, Εἰρήνη τῶν Ὁσίων καλλονή, τῇ ἀῤῥωγῇ σου ὁσία μου, ὅπως δόξης ἀλάστου κατεπιτύχωμεν.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεός τόν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

**Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας**

*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἀλγημάτων ποικοίλων, ἀσθενείας πληθύν τε καὶ πολυκύμαντον, καὶ τέρατα σημείων, παλίνορσά τε ἄγῃ, Χρυσοβάλαντε στόρεσον, τοὺς προσελθόντας ἀγανῶς, τῇ ἀμαχήτῳ σου πρεσβείᾳ.

*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ὠκυμόρων δοράτων, εὐθαρσῶς τε παλλόντων καὶ προσβαλλόντων πιστοῖς, δαιμόνων ἐπηρείας, ἀνθρώπων μαγγανείας, βροτοκτόνων κατέαξον, τοὺς γουνομένους σέ πικρῶς, Εἰρήνη Ἡγουμένη.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Νοσφισμάτων δολίων, λογισμῶν τε κρυφίων τοῦ παναλάστορος καὶ τρόπων ἀλλοτρίων, στενώσεις καὶ συγχύσεις, Χρυσοβάλαντε διάῤῥηξον, τοῖς μελοδοῦσι σοι σέ ἁγνῶς, ἰφθίμῳ σου πρεσβεία.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Θεοτοκίον.**

Ἡ ἀειπάρθενος Κόρη, ἡ τεκοῦσα τὸν Κύριον, τὸν Υἱὸν τοῦ Πατρός, ἐκ λύθρου νοσημάτων, ἀνόμων νοημάτων, τὴν ψυχήν μου ἐξάγνισον, ἵνα κράζω σὲ ἀεί, Ὦ, Κεχαριτωμένη.

**Ὠδή η'. Τόν Βασιλέα.**

*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Στέφος ἀνθρώπων, ἀπέκρουσεν ἡ κεφαλή σου, τῶν προσκαίρων πρὸς ὥραν κεχωρισμένη, ἵνα οἷον κατέχῃς, εἰς πάντας τοὺς αἰῶνας.

*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ὁ Πάτμου Ἰωάννης, ὁ τῆς βροντῆς τὸ τέκνον, Θεολόγος ἠγαπημένος καὶ παρθένος, Ἐδὲμ μῆλά σοι πέμπει, βραβεύειν σούς ἀγῶνας.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Νόμον ἀγάπης, ἐκέκτησο παιδιόθεν, ἐν ᾧ οὔκ ἐστιν φόβος, οὐδὲ δειλία, ἀγάπη ὡς τελεία, φόβον ἀποδιώκει.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**Θεοτοκίον.**

Διακονοῦσα, τῶν Ἀρχαγγέλων τὸ ὅρος, παννυχῶς ὑπὲρ πάντων ἀεὶ δεομένη, ἰσάγγελος κατέστη, Παρθένε, ἡ Εἰρήνη.

## Ὠδή θ'. Κυρίως Θεοτόκον.

*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἡμάρτομεν Εἰρήνη, πάντες ἀχθοφόροι, σκεύη τοῦ πονηροῦ ὡς γενόμενοι, νῦν ταῖς πρεσβείαις ταῖς σαῖς, ῥῦσαι τοὺς σέ τιμῶντας.

*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Μηδέν τι μεριμνοῦσα, ἀεὶ τε δεομένη, τὴν Εἰρήνην τοῦ Θεοῦ τὴν ὑπερέχουσαν, οὕτω τά τε νοήματα ἡμῶν, χρηστευθέτως κατεύθυνον.

*Ὁσία τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.*

Ἡμάρτομεν μεταλαβόντες, αἷμά τε καὶ σῶμα, τὸν θάνατον τοῦ Κυρίου καταγγέλοντες, ἄχρις οὗ καὶ πάλιν ἔλθῃ, ἀξίους ἡμᾶς ἑτοίμασον.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Τοῦ Δείπνου ἡμᾶς Ὁσία, σήμερον μυστικοῦ τε, κοινωνοὺς συμπαράλαβε, Εἰρηνοκάρηνε, λῃσταὶ ὡσεί βοῶντες, μνήσθητι ἡμῶν, ἅγιε Κύριε.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ῥυάκων εὐδινήτων, ζῶσα πηγὴ Παρθένε, τὰς ξηρανθείσας καρδίας κατάρδευσον, Σύ νᾶμά τε καὶ μάνα, εἰς τὰ ἅγια τῶν ἁγίων.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

## Μεγαλυνάρια.

Χαίροις μοναζόντων ἡ καλλονή, ἁπάντων τῶν ἁγίων, χαῖρε ἡ βάτος ἡ φωτεινή, χαίροις τε τῶν παρθένων, καύχημα τό ἑδραῖον, ὁ φάρος ἐν σκοτίᾳ, ψυχὰς ἡ σῴζουσα.

Χαίροις τῶν ἀγγέλων ἡ κοινωνὸς καὶ Χρυσοβαλάντου, ἡ λυχνία ἡ φαεινή, ἀκτίς τε φαεσφόρος, ἰφθίμη παγχαλκεία, τηλόθεν Ἐκκλησίας, παστὰς ἡ λάμπουσα.

Χαίροις τὸ πυξίον τὸ ἀσφαλές, ἀταλάντευτε ῥάβδε, βακτηρία σεμνοπρεπής, πεπηρωμένων φάος, ἔλλαμψίς τε ἡλίου, τοῦ σκότους ἡ ἀργία, λαμπὰς ἡ φαίνουσα.

Χαίροις Καππαδόκων ἡ χαρμονή, ἁπάσης τῆς Ἑλλάδος, ἡ ὁσία ἡ ἀγαπητή, χαίροις τε καὶ τῶν ξένων, ἄκουσμα τό σπουδαῖον, ψυχῶν παρηγορίαν, ἀεὶ ἡ πέλουσα.

Εἶτα.

Πᾶσαι τῶν Ἀγγέλων αἵ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ Δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τό τρισάγιον καί τά ἀκόλουθα τροπάρια.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλεησον ἡμᾶς. (ἐκ γ′).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθιτι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

**Κύριε, ἐλέησον. (ἐκ γ′).**

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γεννηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

### Ἀπολυτίκιον. Ἦχος γ'. Θείας πίστεως.

Σκάμμα ἔνθεον ἐπιποθοῦσα, δόξαν ῥέουσαν ὑπεριδοῦσα, δι' ἀσκήσεως ὁσία ἐκλάμψασα, ὡς οὖν Εἰρήνη τυχοῦσα τοῦ πόθου σου, ἐν ὁμονοίᾳ ὑμᾶς διαφύλαττε, ἀξιάγαστε Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

### Εἶτα ἐκτενὴς καὶ ἀπόλυσις. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Μῆτερ νυμφευθεῖσα τῷ Χριστῷ, ἔνδοξε Εἰρήνη θέοφρον, χαριτοστόλιστε, μνήσθητι δεόμεθα, δεινῶν τ' ἀπάλλαξον, πειρασμῶν τε καὶ θλίψεων, καὶ ἀσθενημάτων, τοὺς τὴν σὴν βοήθειαν, ἐκλιπαροῦντας πιστῶς, ἵνα ὡς σωφρόνως βιῶντες, φρόνιμαι παρθέναι κληθῶμεν, τῆς μεσονυκτίου ἐπισυνάξεως.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξον μὲ ὑπὸ τὴν σκέπην σου.

**Δίστιχον**

*Εἰρήνη, Δημήτριον, τὸν σὲ νἱουμνικῶς γονούμενον, νἱοιοβόλου ἄκους, λύτρωσαι.*

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

*Ἐπερατώθη, σὺν Θεῷ ἁγίῳ, ἡ παροῦσα ἀκολουθία, διά χειρός Δημητρίου Γ. Μαυρίδου, ἐν Νέοις Ἐπιβάταις Θεσσαλονίκης, τῇ κη' Ἰουλίου ͵βιγ' (2013).*

***

+

# Χ Α Ι Ρ Ε Τ Ι Σ Μ Ο Ι

## ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ & ΘΕΟΦΟΡΟΝ ΜΗΤΕΡΑ ΗΜΩΝ

# ΕΙΡΗΝΗΝ, ΚΑΘΗΓΟΥΜΕΝΗΝ

## ΤΗΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΠΕΡΙΠΥΣΤΟΥ ΜΟΝΗΣ

## ΤΟΥ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ

*(ἑορταζομένης τῇ κη΄ / 28ῃ Ἰουλίου)*




Ὁσία Εἰρήνη Χρυσοβαλάντου: διὰ χειρὸς Εἰρήνης Δ. Μαυρίδου (ἐτῶν 13)




# ΟΙ ΚΔ΄ ΟΙΚΟΙ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ

# ΕΙΡΗΝΗΣ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ

Ἀπολυτίκιον. Ἦχος γ'. Θείας πίστεως.

Σκάμμα ἔνθεον ἐπιποθοῦσα, δόξαν ῥέουσαν ὑπεριδοῦσα, δι' ἀσκήσεως ὁσία ἐκλάμψασα, ὡς οὖν Εἰρήνη τυχοῦσα τοῦ πόθου σου, ἐν ὁμονοίᾳ ὑμᾶς διαφύλλαττε, ἀξιάγαστε Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

***Χαίρε, νύμφη Χριστόνυμφε.***

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ στρατηγῷ.

Τῇ Ἡγουμένῃ μοναχῇ τὰ νικητήρια, ἡ λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφει σοι ἡ χώρα σου, Εἰρήνη. Ὅπως ἔχουσα τὸ Γένος ἀπροσμάχητον, ἐκ δολίων καὶ δαιμόνων ἐλευθέρωσον· ἵνα κράζωμεν·

***Χαίρε, νύμφη Χριστόνυμφε.***

Ἄγγελος ἐπιστάτης, οὐρανόθεν ἐπέμφθης, εἰπεῖν τῇ Εἰρήνῃ τὸ χαῖρε (ἐκ γ') καὶ σὺν τῇ ἀνεκλάλῳ Σου φωνῇ, αἰωρούμενον Σὲ θεωρῶν, Ἄγγελε, ἐξίστατο καὶ ἥδετο ἀκούειν παρὰ Σοὶ τοιαῦτα·

- ❖ Χαῖρε, δι'ἧς ἡ μονὴ αὐγάζει· χαῖρε, δι'ἧς ἡ ἀρά στενάζει.
- ❖ Χαῖρε, τῶν πεσόντων ψυχῶν ἡ ἀνάκλησις· χαῖρε, τῶν δαιμόνων τοῦ σκότους ἡ πάταξις.
- ❖ Χαῖρε, ὕψος δυσδιάκριτον ἀνθρωπίνοις στοχασμοῖς· χαῖρε, βάθος ἀψηλάφητον ἀπιστούντων ὀφθαλμοῖς.

- ❖ Χαῖρε, ὅτι ἠρνήθης βασιλέων καθέδρας· χαῖρε, ὅτι ἐδέξω, τὸν λυτρούμενον πάντας.
- ❖ Χαῖρε, λαμπὰς φωτίζουσα σκότος· χαῖρε, αὐγὴ ἐμπλέου ἐλάμψεως.
- ❖ Χαῖρε, δι᾽ ἧς καταργεῖται ἡ φθίσις· χαῖρε, δι᾽ ἧς δυναμοῦται ἡ πίστις·

***Χαίρε, νύμφη Χριστόνυμφε.***

Βλέπουσα ἡ Ὁσία ἑαυτὴν ἀναξίαν, φησὶ τῷ Ἀγγέλῳ θαρσαλέως· τὸ λευχεῖμον Σου τῆς στολῆς, ὡς κατευφραῖνόν μου τῇ ψυχῇ φαίνεται· ἀῤῥήτων γὰρ νοήσεων τὴν μύησίν πῶς λέγεις, κράζων·

***Ἀλληλούια.***

Γνῶσιν ἄγνωστον γνῶναι ἡ Εἰρήνη ζητοῦσα, ἐβόησε πρὸς τὸν λευχειμονούντα· Ἐξ ἀπείρων  λογισμῶν, ἰόν πῶς ἐστιν ἐξαχθῆναι δυνατόν, λέξον μοι· Πρὸς ἣν ἐκεῖνος ἔφησεν ἐνθέως, νῦν προσαύδων οὕτω·

- ❖ Χαῖρε, βουλῆς ἀγαθῆς ἡ μήτηρ· χαῖρε, σιγῆς ἀσκουμένων ἡ πίστις.
- ❖ Χαῖρε, τῶν θαυμάτων Χριστοῦ τὸ ἐφύμνιον· χαῖρε, τῶν δογμάτων αὐτοῦ τὸ παλάτιον.
- ❖ Χαῖρε, τέττιγξ λιγυρόφθογγε, ἡ ὑμνοῦσα τόν Θεὸν· χαῖρε, μοῦσα συναγείρουσα τοὺς ἐκ γῆς πρὸς οὐρανὸν.
- ❖ Χαῖρε, παρὰ Ἀγγέλου πολυτρόπως ἡγηθεῖσα· χαῖρε, τῶν δαιμόνων τὸ θράσος τηροῦσα.
- ❖ Χαῖρε, τὸ Φῶς ἀσμένως δοξάσασα· χαῖρε, τὸ πῶς ἰδρῶσιν τιμήσασα.
- ❖ Χαῖρε, σοφῶν ἡ ὑπερβάλλουσα γνῶσις· χαῖρε, πιστῶν ἡ ἀκατάληπτος φέξις·

***Χαίρε, νύμφη Χριστόνυμφε.***

Δύναμις τοῦ Ὑψίστου, ἐπεκάλυψε τότε πρὸς νύμφευσιν τῇ Εἰρηνωνύμῳ καὶ τὴν εὔκαρπον ταύτης ψυχήν, ὡς ἀγρὸν ἀνέδειξεν ἡδὺν ἅπασι, τοῖς θέλουσι θαμίζειν σωτηρίαν, ἐν τῷ ᾄδειν οὕτως·

***Ἀλληλούια.***

Ἔχουσα θεοτρόπον ἡ Εἰρήνη, τὸν βίον, ἀνέδραμε πρὸς Ἰωαννίκιον· Ὁ δὲ ὅσιος ἐκεῖνος εὐθύς, ἐπιγνῴς τὸν ταύτης ὁρισμόν, ἔλεγεν· Ὕπαγε τέκνον ὕπαγε, πορεύου πρὸς τὴν Κωνσταντίνου·

- Χαῖρε, βλαστὲ Καππαδόκων κλῆμα· χαῖρε, καρπὲ ὀρθοδόξων κτῆμα.
- Χαῖρε, γεωργέ γεωργοῦσα ἀσκητρίας· χαῖρε, σκηνουργέ αἰωνίους ἐγείρουσα οἰκίας.
- Χαῖρε, ἄρουρα γλυκαίνουσα τάς καρδίας τῶν πιστῶν· χαῖρε, τράπεζα χρυσόπεζα φεγγοβόλων γλυκασμῶν.
- Χαῖρε, ὅτι νυμφῶνα τῶν ψυχῶν εὐτρεπίζεις· χαῖρε, ὅτι λιμένα ναυαγῶν καταρτίζεις.
- Χαῖρε, πιστῶν πρεσβείας θυμίαμα· χαῖρε, μετανοούντων τό στήριγμα.
- Χαῖρε, Ταξιαρχῶν ἡ εὐλογία· χαῖρε, ἡ βροτῶν πρὸς Θεὸν ἱκεσία·

***Χαίρε, νύμφη Χριστόνυμφε.***

Ζάλην ἔνδοθεν ἔχων λογισμῶν πονηρῶν, ὁ ἄφρων κοσμικὸς ἐπειράχθη, ἔρωτι μανικῶς τετρωθείς, ἐκπληρούμενον δὲ ἔτι ὑπονοῶν, ὁ τάλας τυχῶν τῆς σῆς ἀντιλήψεως, γοερῶς ἔφη·

***Ἀλληλούια.***

Ἤκουσαν ἀποροῦντες, Καππαδόκων οἱ δῆμοι, τὴν ἔκπαγλον μορφὴν τῆς Εἰρήνης καὶ τιμῶντες αὐτὴν ὡς Αὐγοῦσταν, ὑμνοῦσιν πλὴν ταύτην ὡς παστοῦ ἔνοικον, ἐν τῇ μονῇ ὁσίως καταλεχθείσαν, ἣν ὁρῶντες εἶπον·

- Χαῖρε, σεμνὴ τῆς μονῆς Μήτηρ· χαῖρε, αὐλὴ λογικῶν ἀμνάδων.
- Χαῖρε, ἀοράτων ἐχθρῶν φυλακτήριον· χαῖρε, παραδείσου μονῶν εἰσιτήριον.
- Χαῖρε, ὅτι τὰ οὐράνια συνευφραίνεται τῇ γῇ· χαῖρε, ὅτι τὰ ἐπίγεια συμπορεύει οὐρανοῖς.
- Χαῖρε, τῶν ἀσκουμένων τὸ ἔκθαμβον πρᾶγμα· χαῖρε, τῶν ταλαιπώρων τὸ ἀτίμητον θαῦμα.
- Χαῖρε, σεμνὸν μοναζόντων καύχημα· χαῖρε, τερπνὸν προσκυνητῶν ἄγαλμα.

❖ Χαῖρε, δι᾽ ἧς ὁ Ἅδης ἐπικράνθη · χαῖρε, δι᾽ ἧς ὁ λαὸς ἐγλυκάνθη·

*Χαίρε, νύμφη Χριστόνυμφε.*

**Θ**εοδρόμον μητέρα, ἐξελέξαντες πάντες, εὐσεβῶς ὑπετάχθησαν γνώμῃ· καὶ ἀσμένως ποιοῦντες εὐχάς, τῷ Θεῷ ηὐρέστουν κραταιῶς πάραυτα· καὶ βία τῷ βίῳ θήσαντες, ἐθάῤῥησαν οὕτω βοῶντες·

*Ἀλληλούια.*

**Ἶ**δον κόραι παρθέναι, ἐν χερσὶ τῆς Εἰρήνης, τριάδα μήλων ἐχούσης θείων· παραδείσου ὡς δῶρα κλυτά, νοοῦντες ἀγλαὰ· ἔκραζον συντόνως βοῶσαι, καὶ γουνοῦσθαι τῇ καθηγουμένῃ·

❖ Χαῖρε, ἀστέρος ἀδύτου νύμφη· χαῖρε, Ἠοῦς ἠριγένειον ἦμαρ.
❖ Χαῖρε, τῆς πλάνης τὸν ὄλεθρον τήξασα· χαῖρε, τῆς παστάδος τὰς νύμφας στολίζουσα.
❖ Χαῖρε, κοίρανον μισάνθρωπον ἐκβαλλοῦσα τῆς μονῆς· χαῖρε, ὄρχαμον οἰκτείρμονα προσκυνήσασα Χριστὸν.
❖ Χαῖρε, τάς ἀκολάστους καθελοῦσα μαγείας· χαῖρε, τοῦ διαβόλου καταργοῦσα τὰς μαγγανείας.
❖ Χαῖρε, τὸ ἄητον θάρσος ἔχουσα· χαῖρε, καταλυγρὰ ἄχεα τέμνουσα.
❖ Χαῖρε, πιστῶν πυροφόρε ἄρουρα· χαῖρε, κλυτῶν ἐθνέων ἐρκόπεζα·

*Χαίρε, νύμφη Χριστόνυμφε.*

**Κ**ήρυκες ἑωσφόροι, οἱ θρασύτατοι μάγοι, ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα· ὑποκύψαντές σοι τῇ εὐχῇ καὶ σφαδάζοντες ὡσεὶ συῶν ἔθνεα, πατέρων Καππαδόκων τῇ μεσιτείᾳ, ἐξαπίνης ἐξέδραμον·

*Ἀλληλούια.*

**Λ**άμψας ἐν Βυζαντίῳ, αὐγὰς τῆς Τρισηλίου καὶ κρημνίσας τοῦ σκότους τὸ κράτος· τὰ γὰρ ξόανα τούτου, ἔφριξαν Εἰρήνη, ἐπιγνῶντες σὲ ὡς ἰσχὺν πανερύκακον· οἱ δὲ διά σοῦ σωθέντες, ἐβόων πρὸς σὲ πανευφροσύνως·

❖ Χαῖρε, βρισάρματε καὶ ὀβριμόθυμε· χαῖρε, δορυσθενές καί καρτερόχειρε.

- ❖ Χαῖρε, ἐν ᾗ τρία διαπάντως πάρεστιν· χαῖρε, ἀγρυπνίαν, νηστείαν καὶ χαμευνίαν στέργουσαν.
- ❖ Χαῖρε, δολιχοδείρων κελεύθων ἀΐδιον πέρας· χαῖρε, νοητῆς πορείας, ἀρίδηλον γέρας.
- ❖ Χαῖρε, πύρινον κλέος καὶ πιστῶν ἡ λαμπρότης· χαῖρε, ἠλακωμόρων κυνῶν ἡ διώκτης.
- ❖ Χαῖρε, πηγὴ διψώντων ἄκρητον νᾶμα· χαῖρε, ἀλκὴ αἰτούντων ἄμβροτον βρῶμα.
- ❖ Χαῖρε, ἡ τυτθὸς θηλαζόντων Αἷμα· χαῖρε, ἡ τροφὸς ἐσθιόντων Σῶμα·

***Χαίρε, νύμφη Χριστόνυμφε.***

Μέλλοντος ἡγεμόνος, τοῦ παρόντος αἰῶνος, μεθίστασθαι τοῦ λυμεῶνος, προεφήτευσας καὶ ἔφης οὕτω, ἔσεσθαι γινώσκοντες, ὅτι μέλλειν αὐτὸν θνῄσκειν· διόπερ ἐξεπλάγησαν πικρῶς καὶ οὕτω ἄχεα μογερὰ στονόωντες ἔλεγον·

***Ἀλληλούια.***

Νέαν ἔδειξας κτίσιν, φιλομόναχόν τινα νεανίαν, ἑτοιμασθῆναι προλέγουσα δεόντως· ὡς ἐκ βροτείας βλαστήσας γαστρός, παλιντρόπως δεῖ ἀπελθεῖν ὡς μὴ ἄμβροτος· ὃς νεῦμα δὲ τοῦτο νοήσας, βεβόηκεν στενάξας βαθέως·

- ❖ Χαῖρε, τὸ ἄνθος Καππαδοκίας· χαῖρε, τὸ στέφος τῆς Καισαρείας.
- ❖ Χαῖρε, ἀναπαύσεως ἦμαρ μηνύουσα· χαῖρε, ἀναστάσεως κρίσιν προλέγουσα.
- ❖ Χαῖρε, δένδρον ἀγλαόκαρπον, πεφυτευμένον ἐν τῇ γῇ· χαῖρε, ξύλον ἐπουράνιον, πεπηγμένον ἐν τρυφῇ.
- ❖ Χαῖρε, ὁδηγὲ κλυτὰ μήδεα προγνοῦσα· χαῖρε, χορηγὲ κλητὰ ἔθνεα καλοῦσα.
- ❖ Χαῖρε, κρίσεως δεινῆς δυσώπησις· χαῖρε, φύσεως στρεπτῆς διόρθωσις.
- ❖ Χαῖρε, θῶραξ ἀλεξίπληγε ὀϊστῶν· χαῖρε, ζῶμα πανσωτήριον γυμνῶν·

***Χαίρε, νύμφη Χριστόνυμφε.***

Ξένον φάμα ἀκούσας, ἐξανέστη διόλου, ὁ ἐν δόμοις κατακείμενος βασιλεὺς· φαντασίαν σὲ ὡς ὁρῶν ἀπατηλήν, ὄναρ τε δύσπι-

στον καὶ μωρὸν ὡς δεδορκώς, ἐφώνισε σφαλίσαι τὰς αἰπύλας θύρας, ἐν τρόμῳ·

*Ἀλληλούια.*

Ὄρχαμε λαῶν, ἄκουσον λόγον ἐμὸν καὶ ἀπόλλυσον ὃν ἀδίκως ἔχεις κρατούμενον ἐν εἱρκτῇ· συκοφάντησις γὰρ ψευδής, οὐ παράβασις δὲ ἀληθὴς γέγονεν· καὶ θάμβει ὡς, Εἰρήνη στερχθείς, ταρβῶν ἐβόα, ἀδυεπῶς·

- ❖ Χαῖρε, χρυσέα θυγάτηρ εὐῶπα· χαῖρε, ὀρθὸν λυτρωτήριον ἔπος.
- ❖ Χαῖρε, συκοφαντούντων ἀρίδηλος ἐρυννὶς· χαῖρε, ἐλεούντων τανύπτερος ἐλπὶς.
- ❖ Χαῖρε, ἄμεινον πρόσταγμα, ὡς πάντα λέγειν ἃ φρονεῖν· χαῖρε, ῥῆμα τὸ πανάριστον, ἐφ᾽ οἷς γὰρ φρονεῖν, μὴ σιγᾶν φιλεῖν.
- ❖ Χαῖρε, ἡ τἀναντία εἰς αὐτὸ ἀγαγοῦσα· χαῖρε, ἡ βασιλείαν καὶ δουλείαν ζευγνῦσα.
- ❖ Χαῖρε, δι᾽ ἧς ἐλύθη παράβασις· χαῖρε, δι᾽ἧς ἐφεύχθη ἀρά θανάσιμος.
- ❖ Χαῖρε, ἡ κλεὶς καὶ εἱρκτῆς σωτηρία· χαῖρε, κρηπὶς τρισηλίου πρεσβείας·

***Χαίρε, νύμφη Χριστόνυμφε.***

Πᾶσα φύσις Ἀγγέλων, κατεπλάγη τὸ μέγα, τῆς σῆς ἀσκήσεως ἔργον· τὰ γὰρ ἀνθρώποις ἀρεστά, ἐθεώρει πάνυ μισητὰ σκύβαλα, παρὰ σοί, Εἰρηνώνυμε, φρονοῦσα εἰσέτι, ὅτι χρόνος δίκαια δείκνυσιν·

*Ἀλληλούια.*

Ῥήτορας πολυστόμους, ὡς νηπίους ἀφώνους, βοῦν γὰρ ἐπὶ γλώσσης φερόντων καὶ λοιδοροῦντες γὰρ λέγουσι, πῶς μὲν ὡς Αὐγοῦστα ἐκλήθης καὶ τὰ θεῖα πῶς ἐμυήθης· ἡμεῖς δὲ τὸ σωτήριον θαυμάζοντες, ἀγλαῶς σοι βοῶμεν·

- ❖ Χαῖρε, χρυσοῦν μυροδοχεῖον· χαῖρε, χαρᾶς Θεοῦ σεμνεῖον.
- ❖ Χαῖρε, πολυσόφους ἀσόφους δεικνύουσα· χαῖρε, πολυλόγους βαττολόγους τεκμαίρουσα.

❖ Χαῖρε, ὅτι ἐπικράνθησαν τῆς τρυφῆς οἱ φοιτηταὶ· χαῖρε, ὅτι ἐμαράνθησαν οἱ τῆς μέθης αὐληταὶ.
❖ Χαῖρε, τῶν βασιλέων τὰς πλοκὰς διασπῶσα· χαῖρε, τῶν πενόντων τὰς φωνὰς ἀκουῶσα.
❖ Χαῖρε, πηλοῦ σκοτίαν ἐκπλύνουσα· χαῖρε, ἀγροίκους γνησίως διδάσκουσα.
❖ Χαῖρε, ἀρνάς θηλαζόντων ἀμνίων· χαῖρε, σταθμὲ οὐρανίων ποιμνίων·

***Χαίρε, νύμφη Χριστόνυμφε.***

Σέλας ἄδυτον στέργειν, διακαῶς τε ποθοῦσα, μονήρην βίον ἐξέλεξας· ἀσκητικῶς δὲ διάγουσα, ἐπὶ γῆς, νῦν ἐν αὐλαῖς οὐρανίοις κατοικεῖς· ὁμοίως γὰρ τοὺς ὁμοίους καλοῦσα, σοί τε βοῶμεν Εἰρήνη·

***Ἀλληλούια.***

Τεῖχος εἰ τῶν παρθένων ἡγουμένη Εἰρήνη καὶ πάντων τῶν εἰς σὲ καταφευγόντων· ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἀνέδειξε σὲ Ποιητής, ἄμαχον· οἰκήσας ἐν τῇ μάνδρᾳ σου καὶ πάντας σοὶ προσφωνεῖν διδάξας·

❖ Χαῖρε, τὸ γέρας τῆς παρθενίας· χαῖρε, τὸ πέρας τῆς εὐκοσμίας.
❖ Χαῖρε, τῆς μονῆς νοητὴ ἀγαλλίασις· χαῖρε, ἡ ἀξία πνευματικῆς μητρότητος.
❖ Χαῖρε, σύ γὰρ ἐξανέστησας τοὺς πεπτωκότας γοερῶς· χαῖρε, σύ γὰρ ἐνουθέτησας τοὺς πεπλανημένους ἐν ὁδῷ.
❖ Χαῖρε, ἡ τὸν παλαμναῖον ἰφθίμως κατανικοῦσα· χαῖρε, ἡ τὸν Ναζωραῖον ἀλκίμως ὁμολογοῦσα.
❖ Χαῖρε, ἀμνὰς ἀμώμου νυμφεύσεως· χαῖρε, πολλοὺς Κυρίῳ ἁρμόζουσα.
❖ Χαῖρε, σεμνῶν κουροτρόφε παρθένων· χαῖρε, ψυχῶν νυμφοστόλε ἁγίων·

***Χαίρε, νύμφη Χριστόνυμφε.***

Ὕμνοις πρόπαν ἡδίστοις, συνευφραίνεσθαι πᾶσι, τοῖς ἄμυδις ἅμα συνερχομένοις· ἰσαρίθμους δὲ τῇ ψάμμῳ ἄγαν μεμετρημένοις, σύ δὲ Εἰρήνη Ὁσία, οὐδὲν τελοῦσα ἄξιον· ὧν ἔτυχας δωρεῶν παρὰ Κυρίου, σεμνῶς οἰομένη·

*Ἀλληλούια.*

**Φ**ωτοφόρον φρυκτωρίαν νοημάτων φανεῖσαν, ὁρῶμεν σὲ ὁσία Εἰρήνη· ὡς γὰρ ἄκηλον πέλουσα φῶς, ὁδηγεὶς πρὸς νόησιν θεϊκὴν ἅπαντας, πυρὶ τὸν νοῦν χρυσίζουσα, μολπῇ δὲ ὑμνουμένη ταῦτα·

- ❖ Χαῖρε, ἀκτὶς νοερᾶς προσευχῆς· χαῖρε, ῥιπὶς μυστικῆς σιωπῆς.
- ❖ Χαῖρε, στεροπή τὰς ψυχὰς διαυγάζουσα· χαῖρε, ὡς βροντὴ ταραχάς διαθλάττουσα.
- ❖ Χαῖρε, ὅτι τὸν περίλαμπρον διαχέεις αὐγασμόν· χαῖρε, ὅτι τὸν πολύδινον διανέμεις ἁγιασμὸν.
- ❖ Χαῖρε, τῆς μετανοίας ἑδραιοῦσα τὸν τύπον· χαῖρε, τῆς ἁμαρτίας καθελοῦσα τὸν οἶκον.
- ❖ Χαῖρε, νιπτὴρ ἐκνίπτων ὀνείδισιν· χαῖρε, κρατὴρ κιρνών εὐώνησιν.
- ❖ Χαῖρε, ὀσμὴ ἀσκητῶν εὐωδίας· χαῖρε, βιοτὴ μυστικῆς ἡσυχίας·

***Χαίρε, νύμφη Χριστόνυμφε.***

**Χ**άριν πᾶσι ἐκζητήσασα, ἁμαρτάδων θαμέων, ὁ πάντων χρεολύτης ἀνθρώπων· συνεχώρησεν διά σοῦ, τὰς τῶν σοί προστρεχόντων πάμπολλα πταίσματα· καὶ σχίσας τὰ χρεώγρφα, ὑμνεῖται παρὰ πάντων αὖθις·

*Ἀλληλούια.*

**Ψ**άλλοντές σοι τὸν ὕμνον, χαιρετοῦμεν σὲ πάντες, ὡς Πνεύματος ἁγίου ναόν, ὁσία Εἰρήνη· ἐν τῇ σῇ γὰρ οἰκήσας μονῇ, ὁ συνέχων πάντα τῇ δρακὶ Κύριος, ἡγίασεν, ἐδόξασεν αὐτήν, ἐδίδαξεν τὲ καὶ βοᾶν σοι πάντας·

- ❖ Χαῖρε, ἀμνὰς Ἰωάννου Θεολόγου· χαῖρε, ὁσία ὁσίων μῆτερ.
- ❖ Χαῖρε, Ἀρχαγγέλων σεμνεῖον τὸ πύρινον· χαῖρε, τῶν Ἀγγέλων τὸ οἰκεῖον καύχημα.
- ❖ Χαῖρε, κόσμημα διάχρυσον ἡγεμόνων εὐλαβῶν· χαῖρε, ἄκουσμα τεράστιον ἀεννάων γενεῶν.
- ❖ Χαῖρε, τῆς πολιτείας ὁ ἐρύκακος θοῦρος· χαῖρε, τοῦ παραδείσου τὸ ἀτελεύτητον ἦμαρ.

- Χαῖρε, δι’ ἧς κύπτουσι Κυπάρισσοι· χαῖρε, δι'ἧς πίπτουσι ἀχάριστοι.
- Χαῖρε, σαρκὸς τῆς ἐμῆς ἰατρεία· χαῖρε, ψυχῆς τῆς ἐμῆς πολιτεία·

***Χαίρε, νύμφη Χριστόνυμφε.***

Ὦ πανύμνητε Μῆτερ, ἡ εὑροῦσα τὸν πάντων Ἁγίων Ἁγιότατον Λόγον (ἐκ γ’)· δεξαμένη τούς νῦν χαιρετισμούς, ἀπὸ πάσης ῥῦσαι διαβολὰς ἅπαντας· καὶ τῆς ἀσπέτου λύτρωσαι θλίψεως, τοὺς συμβοῶντας·

***Ἀλληλούια.***

Ἄγγελος ἐπιστάτης, οὐρανόθεν ἐπέμφθης, εἰπεῖν τῇ Εἰρήνῃ τὸ χαῖρε καὶ σὺν τῇ ἀνεκλάλῳ Σου φωνῇ, αἰωρούμενον Σὲ θεωρῶν, Ἄγγελε, ἐξίστατο καὶ ἥδετο ἀκούειν παρὰ Σοὶ τοιαῦτα·

- Χαῖρε, δι’ἧς ἡ μονὴ αὐγάζει· χαῖρε, δι’ἧς ἡ ἀρά στενάζει.
- Χαῖρε, τῶν πεσόντων ψυχῶν ἡ ἀνάκλησις · χαῖρε, τῶν δαιμόνων τοῦ σκότους ἡ πάταξις.
- Χαῖρε, ὕψος δυσδιάκριτον ἀνθρωπίνοις στοχασμοῖς · χαῖρε, βάθος ἀψηλάφητον ἀπιστούντων ὀφθαλμοῖς.
- Χαῖρε, ὅτι ἠρνήθης βασιλέων καθέδρας· χαῖρε, ὅτι ἐδέξω, τὸν λυτρούμενον πάντας.
- Χαῖρε, λαμπὰς φωτίζουσα σκότος· χαῖρε, αὐγὴ ἐμπλέου ἐλάμψεως.
- Χαῖρε, δι ἧς καταργεῖται ἡ φθίσις· χαῖρε, δι ἧς δυναμοῦται ἡ πίστις·

***Χαίρε, νύμφη Χριστόνυμφε.***

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν, εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου, Θεοτόκε· ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον· ἵνα κράζω σοι·

***Χαίρε, Νύμφη Ἀνύμφευτε.***

Τῇ Ἡγουμένῃ μοναχῇ τὰ νικητήρια, ἡ λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφει σοι ἡ χώρα σου, Εἰρήνη. Ὅπως ἔχουσα τὸ Γένος ἀπροσμάχητον, ἐκ δολίων καὶ δαιμόνων ἐλευθέρωσον· ἵνα κράζωμεν·

***Χαίρε, νύμφη Χριστόνυμφε.***

Τό τρισάγιον.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ′).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθιτι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον (ἐκ γ′).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γεννηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως.

Τῷ ἐν Τριάδι εὐλαβῶς γουνομένῳ, Εἰρήνη σεμνή προτιμήσασα, τὰ τῶν δαιμόνων κατέῤῥαξας τεχνάσματα, μέσον δὲ τοῦ σκάμματος, ἐναθλοῦσα θέοφρον, ἀνδρειοφρόνως ἐμβλέπουσα ἀεί, τῶν αἰωνίων καὶ θείων τὴν ἀπόλαυσιν.

Κύριε ἐλέησον (μ').

Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος Χριστὸς ὁ Θεός, ὁ μακρόθυμος, ὁ πολυέλεος, ὁ πολυεύσπλαγχνος, ὁ τοὺς δικαίους ἀγαπῶν καί τοὺς ἁμαρτωλοὺς ἐλεῶν, ὁ πάντας καλῶν πρὸς σωτηρίαν διά τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν , αὐτός Κύριε, πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς τὰς ἐντολάς σου. Τὰς ψυχὰς ἡμῶν

ἁγίασον, τὰ σώματα ἅγνισον, τοὺς λογισμοὺς διόρθωσον, τὰς ἐννοίας κάθαρον καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης θλίψεως, κακῶν καὶ ὀδύνης. Τείχισον ἡμᾶς ἁγίοις σου Ἀγγέλοις, ἵνα τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι καὶ ὁδηγούμενοι καταντήσωμεν εἰς τὴν ἑνότητα της πίστεως καὶ εἰς τὴν ἐπίγνωσιν της ἀπροσίτου σου δόξης, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριε ἐλέησον (γ').

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ἐν ὀνόματι Κυρίου, εὐλόγησον Πατερ.
Ἱερεὺς Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς...

## ΕΥΧΗ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

*Καὶ σῶσον καί βοήθησον ἡμᾶς, Παναγία Παρθένε.*

Ἄσπιλε, ἀμόλυντε, ἄφθορε, ἄχραντε, ἁγνὴ Παρθένε, Θεόνυμφε Δέσποινα, ἡ Θεὸν Λόγον τοῖς ἀνθρώποις τῇ παραδόξῳ σου κυήσει ἑνώσασα καὶ τὴν ἀπωσθεῖσαν φύσιν τοῦ γένους ἡμῶν τοῖς οὐρανίοις συνάψασα, ἡ τῶν ἀπηλπισμένων μόνη ἐλπὶς καί τῶν πολεμουμένων βοήθεια, ἡ ἑτοίμη ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων, καὶ πάντων τῶν Χριστιανῶν τὸ καταφύγιον· μὴ βδελύξῃ με τὸν ἁμαρτωλόν, τὸν ἐναγῆ, τὸν αἰσχροῖς λογισμοῖς καὶ λόγοις καὶ πράξεσιν ὅλον ἐμαυτὸν ἀχρειώσαντα, καί τῇ τῶν ἡδονῶν τοῦ βίου, ῥαθυμίᾳ γνώμης, δοῦλον γενόμενον· ἀλλ' ὡς τοῦ φιλανθρώπου Θεοῦ Μήτηρ, φιλανθρώπως σπλαγχνίθητι ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ ἀσώτῳ, καὶ δέξαι μου τήν ἐκ ῥυπαρῶν χειλέων προσφερομένην σοι

δέησιν· καὶ τὸν σὸν Υἱόν, καὶ ἡμῶν Δεσπότην καὶ Κύριον, τῇ μητρικῇ σου παῤῥησίᾳ χρωμένη δυσώπησον, ἵνα ἀνοίξῃ κἀμοὶ τὰ φιλάνθρωπα σπλάγχνα τῆς αὐτοῦ ἀγαθότητος καί, παριδὼν μου τὰ ἀναρίθμητα πταίσματα, ἐπιστρέψῃ με πρὸς μετάνοιαν καί τῶν αὐτοῦ ἐντολῶν ἐργάτην δόκιμον ἀναδείξῃ με. Καὶ πάρεσό μοι ἀεὶ ὡς ἐλεήμων καὶ συμπαθὴς καὶ φιλάγαθος, ἐν μὲν τῷ παρόντι βίῳ θερμὴ προστάτις καὶ βοηθός, τάς τῶν ἐναντίων ἐφόδους ἀποτειχίζουσα καὶ πρὸς σωτηρίαν καθοδηγοῦσά με· καὶ ἐν τῷ καιρῷ τῆς ἐξόδου μου τὴν ἀθλίαν μου ψυχὴν περιέπουσα καὶ τὰς σκοτεινὰς ὄψεις τῶν πονηρῶν δαιμόνων πόῤῥω αὐτῆς ἀπελαύνουσα· ἐν δὲ τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, τῆς αἰωνίου με ῥυομένη κολάσεως, καί τῆς ἀποῤῥήτου δόξης τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ ἡμῶν κληρονόμον με ἀποδεικνύουσα. Ἧς καὶ τύχοιμι, Δέσποινα μου, ὑπεραγία Θεοτόκε, διά τῆς σῆς μεσιτείας καὶ ἀντιλήψεως, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς Σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὧι πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ δὸς ἡμῖν, Δέσποτα, πρὸς ὕπνον ἀπιοῦσιν, ἀνάπαυσιν σώματος καὶ ψυχῆς, καὶ διαφύλαξον ἡμᾶς ἀπό τοῦ ζοφεροῦ ὕπνου τῆς ἁμαρτίας καὶ ἀπὸ πάσης σκοτεινῆς καὶ νυκτερινῆς ἡδυπαθείας. Παῦσον τὰς ὁρμὰς τῶν παθῶν, σβέσον τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ τὰ καθ' ἡμῶν δολίως κινούμενα. Τάς τῆς σαρκὸς ἡμῶν ἐπαναστάσεις κατάστειλον καὶ πᾶν γεῶδες καὶ ὑλικὸν ἡμῶν φρόνημα κοίμισον. Καὶ δώρησαι ἡμῖν, ὁ Θεός, γρήγορον νοῦν, σώφρονα λογισμόν, καρδίαν νήφουσαν, ὕπνον ἐλαφρόν καὶ πάσης σατανικῆς φαντασίας ἀπηλλαγμένον. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐστηριγμένους ἐν ταῖς ἐντολαῖς σου καὶ τὴν μνήμην τῶν σῶν κριμάτων ἐν ἑαυτοῖς ἀπαράθραυστον

ἔχοντας. Παννύχιον ἡμῖν τὴν σὴν δοξολογίαν χάρισαι εἰς τὸ ὑμνεῖν καὶ εὐλογεῖν καὶ δοξάζειν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομα σου, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὑπερένδοξε, ἀειπάρθενε, εὐλογημένη Θεοτόκε, προσάγαγε τὴν ἡμετέραν προσευχὴν τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν, καὶ αἴτησαι ἵνα σώσῃ διά σοῦ τὰς ψυχὰς ἡμῶν.

Ἡ ἐλπίς μου ὁ Πατήρ, καταφυγή μου ὁ Υἱός, σκέπη μου τὸ Πνεῦμα τὸ ἅγιον, Τριὰς ἁγία, δόξα σοι.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

## Εὐχὴ εἰς τὸν φύλακα Ἄγγελον.

Ἅγιε Ἄγγελε, ὁ ἐφεστὼς τῆς ἀθλίας μου ψυχῆς καὶ ταλαιπώρου μοῦ ζωῆς, μὴ ἐγκαταλίπης με τὸν ἁμαρτωλόν, μηδὲ ἀποστῇς ἀπ' ἐμοῦ διὰ τὴν ἀκρασίαν μου· Μὴ δώῃς χώραν τῷ πονηρῷ δαίμονι κατακυριεύσαι μου τῇ καταδυναστείᾳ τοῦ θνητοῦ τούτου σώματος· Κράτησον τῆς ἀθλίας καὶ παρειμένης χειρός μου, καὶ ὁδήγησόν με εἰς ὁδὸν σωτηρίας. Ναί, Ἅγιε Ἄγγελε τοῦ Θεοῦ, ὁ φύλαξ καὶ σκεπαστὴς τῆς ἀθλίας μου ψυχῆς καὶ τοῦ σώματος, πάντα μοι συγχώρησον, ὅσα σοὶ ἔθλιψα πάσας τὰ ἡμέρας τῆς ζωῆς μου, καὶ εἴ τι ἥμαρτον τὴν σήμερον ἡμέραν· σκέπασόν με ἐν τῇ παρούσῃ νυκτὶ καὶ διαφύλαξόν με ἀπὸ πάσης ἐπηρείας τοῦ ἀντικειμένου, ἵνα μὴ ἔν τινι ἁμαρτήματι παροργίσω τὸν Θεόν· Καὶ πρέσβευε ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον, τοῦ ἐπιστηρίξαί με ἐν τῷ φόβῳ Αὐτοῦ, καὶ ἄξιον ἀναδείξαί με δοῦλον τῆς Αὐτοῦ ἀγαθότητος. Ἀμήν.

Θεοτόκε Παρθένε, χαῖρε κεχαριτωμένη Μαρία, ὁ Κύριος μετὰ Σοῦ. Εὐλογημένη Σύ ἐν γυναιξῖ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας Σου, ὅτι Σωτῆρα ἔτεκες, τῶν ψυχῶν ἡμῶν (εκ γ′).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κύριε, ἐλέησον (ἐκ γ′). Εὐλόγησον.

**Ἀπόλυσις.**

Δι′ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμὴν.

**Δίστιχον.**

*Εἰρήνη, Δημητρίῳ πανοικεί, τὸν σὲ χαιρετισμοῖς ἐξυμνούντα, ἰο-βολίων δολίων, λύτρωσαι.*

*Ἐπερατώθη, σὺν Θεῷ ἁγίῳ, ἡ παροῦσα ἀκολουθία, διά χειρός Δημητρίου Γ. Μαυρίδου, ἐν Νέοις Ἐπιβάταις Θεσσαλονίκης, τῇ ζ′ Ἰουνίου ͵βιγ′ (2013).*

***

+

# ΕΓΚΩΜΙΑ ΚΑΙ ΕΥΛΟΓΗΤΑΡΙΑ

## ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ & ΘΕΟΦΟΡΟΝ ΜΗΤΕΡΑ ΗΜΩΝ

# ΕΙΡΗΝΗΝ, ΚΑΘΗΓΟΥΜΕΝΗΝ

## ΤΗΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΠΕΡΙΠΥΣΤΟΥ

## ΜΟΝΗΣ ΤΟΥ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ



Ποιηθέντα ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

ὑπὸ Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,

Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

* ͵βζ' * 2007 *

www.tezaurliturgic.ro



ΕΓΚΩΜΙΑ ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ ΚΑΙ ΕΥΛΟΓΗΤΑΡΙΑ

ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ & ΘΕΟΦΟΡΟΝ ΜΗΤΕΡΑ ΗΜΩΝ

# ΕΙΡΗΝΗΝ, ΚΑΘΗΓΟΥΜΕΝΗΝ

ΤΗΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΠΕΡΙΠΥΣΤΟΥ ΜΟΝΗΣ

ΤΟΥ ΧΡΥΣΟΒΑΛΑΝΤΟΥ

* * *

## ΣΤΑΣΙΣ ΠΡΩΤΗ

Ἦχος πλ.α'. Ἡ ζωὴ ἐν τάφῳ.

Τῆς Ζωῆς τὸ ξύλον, τὸν γλυκὺν Ἰησοῦν,

ὦ Εἰρήνη, γευσαμένη ἀξίωσον,

Τούτου πάντας τοὺς τιμῶντάς σε θερμῶς.

Ἀγαπήσας, Μῆτερ, ὁ Χριστὸς σὴν ψυχήν,

ἐξελέξατο Αὐτῷ εἰς κατοίκησιν,

ἀναδείξας σε παλάτιον τερπνόν.

Βασιλείας κάτω, ἀρνηθεῖσα τιμάς,

Οὐρανίου Βασιλέως γεγένησαι,

νύμφη πάγκαλλος, Εἰρήνη ἱερά.

Γνῶσιν σχοῦσα θείων, ἐπιγείου χαρᾶς,

τὸ πικρὸν οὐκ ἀπεγεύσω ποτήριον,

ἐντρυφῶσα μυστηρίοις οὐρανοῦ.

www.tezaurliturgic.ro

Δοῦσα κάλλος, πλοῦτον, βίον πάντα Χριστῷ,
ἀντ’ αὐτῶν ἐδέξω, Μῆτερ, χαρίσματα,
ὑπερβαίνοντα ἀνθρώπων λογισμόν.

Εἰρηναίῳ τρόπῳ, εὐχομένη Θεῷ,
τὴν εἰρήνην Παρακλήτου ἐπέτυχες,
ὦ Εἰρήνη, τύπε θείας προσευχῆς.

Ζῇς, Εἰρήνη θεία, ἐν τῇ Ἄνω Σιών,
καὶ παρέχεις τοῖς τιμῶσί σε δόματα,
σὲ μεσίτριαν προβάλλουσι Χριστῷ.

Ἡ Μονή σου, Μῆτερ, οὐρανὸς ἐπὶ γῆς,
ἀνεδείχθη βιοτῇ τῇ ἁγίᾳ σου,
μιμουμένης τῶν ἀγγέλων τοὺς χορούς.

Θεολόγου μῆλα, δωρεὰν θεϊκήν,
δεξαμένη παραδόξως ἡγίασας,
τὴν σὴν ποίμνην διαδόσει τῇ αὐτῶν.

Ἱερεῖον θεῖον, προτιθεῖσα σαὐτήν,
τῷ βωμῷ τῆς τοῦ Χριστοῦ ἀγαπήσεως,
κατευφραίνεις, ὦ Εἰρήνη, τοὺς πιστούς.

Καιομένη, Μῆτερ, τῇ ἀγάπῃ Θεοῦ,
προσευχῇ σου νυχθημέρῳ κατέφλεξας,
τῶν δαιμόνων φαλαγγάρχας μυστικῶς.

Λῦσον δεσμουμένους, ὦ Εἰρήνη, δεσμοῖς,

μισοψύχου διαβόλου ὡς ἔλυσας,

νεανίαν πάλαι θείαις σου εὐχαῖς.

Μύροις σου ἐνθέοις, τῶν σεπτῶν προσευχῶν,

ἐξιλέωσαι, Εἰρήνη, τὸν Κύριον,

Ὃν λυποῦμεν ἁμαρτίαις ταῖς πολλαῖς.

Νοῦν, ψυχήν, καρδίαν, ὦ Εἰρήνη σεμνή,

ἀνακαίνισον τῶν πόθῳ ὑμνούντων σε,

καὶ ἐγκαίνισον ψυχαῖς τὸν Ἰησοῦν.

Ξενωθεῖσα κόσμου, καὶ τῶν κόσμου τερπνῶν,

τὴν Μονὴν Χρυσοβαλάντου ἀνέδειξας,

ἐργαστήριον, Εἰρήνη, ἀρετῶν.

Ὁραμάτων χρήσει, ἐκ θανάτου πικροῦ,

τὸν ἀδίκως συλληφθέντα διέσωσας,

ἀντὶ λύπης προξενήσασα χαράν.

Πατριάρχου νεύσει, Μεθοδίου κλεινοῦ,

διακόνισσα, Εἰρήνη, ἐκλέλεξαι,

σὴν Μονὴν διακονήσασα πιστῶς.

Ῥήμασι χρυσοῖς σου, ἀδελφῶν τὰς ψυχάς,

τῆς Μονῆς Χρυσοβαλάντου ἐχρύσωσας,

ὦ Εἰρήνη, τὸ ἐκμίμημα Χριστοῦ.

Στάσεσι παννύχοις, καὶ πυρπνόοις εὐχαῖς,
μυστηρίων οὐρανοῦ μύστις γέγονας,
ἅ, Εἰρήνη, ἐπεξήγεις ἀδελφαῖς.

Τὴν στεῤῥάν, Εἰρήνη, ἄσκησίν σου ἐχθρός,
μὴ βαστάσας τῷ πυρί σε κατέκαυσε,
ἀναδείξας μάρτυρά σε τοῦ Χριστοῦ.

Ὑπερβᾶσα ὅρους, φυσικοὺς ἀρεταῖς,
ἐκοσμήθης ἐκ Θεοῦ, εἰρηνώνυμε,
καὶ παρέχεις τοῖς πιστοῖς ἁγιασμόν.

Φαιδροτάτῃ ὄψει, ἐμαρτύρεις σαφῶς,
τὴν οἰκοῦσαν σῇ ψυχῇ χάριν Πνεύματος,
ἥν, Εἰρήνη, ἔσχε πάλαι καὶ Μωσῆς.

Χριστοφόρος ναῦς τις, χριστοδώρους καρπούς,
τῇ καρδίᾳ σου, Εἰρήνη, κομίζουσα,
ἐν λιμένι ἀνεπαύθης τοῦ Θεοῦ.

Ψυχικὴν εἰρήνην, δός, Εἰρήνη σεμνή,
αἰτουμένοις τὴν θερμὴν μεσιτείαν σου,
πρὸς Εἰρήναρχον Δεσπότην Ἰησοῦν.

Ὡραϊζομένη, ἀνταυγείαις λαμπραῖς,
ὢ Εἰρήνη, ἐν Ἐδὲμ κατοικήσασα,
καταξίωσον αὐτῶν σοὺς ὑμνητάς.

Δόξα. Τριαδικόν.

Πάτερ, Λόγε, Πνεῦμα, ἡ Τριὰς ἡ σεπτή,

ταῖς πρεσβείαις τῆς Εἰρήνης εἰρήνευσον,

τοὺς τιμῶντας ὀρθοδόξως σε πιστούς.

Καὶ νῦν. Θεοτοκίον

Ὦ Ἁγνὴ Παρθένε, σὺν Εἰρήνῃ σεμνῇ,

τῷ ἐκ σοῦ σωματωθέντι πρεσβεύσατε,

ὑπὲρ ὅσοι ὑμᾶς σέβουσι πιστῶς.

*καὶ πάλιν τὸ α΄.*

Τῆς Ζωῆς τὸ ξύλον, τὸν γλυκὺν Ἰησοῦν,

ὦ Εἰρήνη, γευσαμένη ἀξίωσον,

Τούτου πάντας τοὺς τιμῶντάς σε θερμῶς.

## ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ

Ἦχος πλ.α΄. Ἄξιόν ἐστι.

Ἄξιόν ἐστι,

μακαρίζειν σε, σεμνὴ Εἰρήνη,

τῆς Χρυσοβαλάντου τὸ καύχημα,

καὶ παρθένων Ἰησοῦ τὴν χαρμονήν.

Ἄγγελοι Θεοῦ,

καθορῶντές σου, Εἰρήνη, βίον,

ἔχαιρον ὁμοῦ καὶ ἐθαύμαζον,

πῶς ἐνίκησας ἐχθροῦ τὰς προσβολάς.

Βρῶσιν ἀγαθήν,
τὴν μελέτην τοῦ Κυρίου νόμου,
ἔχουσα, Εἰρήνη, παρήγαγες,
ὡς καρπὸν χριστοφιλῆ τὰς ἀρετάς.

Γρήγορον τὸν νοῦν,
καὶ φυλάττουσα ψυχὴν ἐν νήψει,
δρόμον ἀσκητῶν προετίμησας,
ἢ ζωὴν βασιλικὴν ἐπὶ τῆς γῆς.

Δόσις ἀγαθή,
ἐκ Κυρίου ὤφθης Ἐκκλησίᾳ,
σοῖς ἀσκητικοῖς ἀγωνίσμασι,
κατευφραίνουσα καρδίας τῶν πιστῶν.

Εἴληφας πολλήν,
τὴν ἐξ ὕψους δύναμιν, σεμνὴ Εἰρήνη,
ὅθεν φιλοχρίστως ἐποίμανας,
μοναστρίας περιπύστου σου Μονῆς.

Ζέουσα θερμῶς,
τῇ πρὸς Κύριον ἁγνῇ ἀγάπῃ,
πόνους προσετίθεις τοῖς πόνοις σου,
ἐκζητοῦσα εὐαρέσκειαν Αὐτοῦ.

Ἤθλησας λαμπρῶς,

συνειδήσει σου, σεπτὴ Εἰρήνη,

ὅθεν δέδωκέ σοι στέφος λαμπρόν,

ἀθλητάρχης Ἰησοῦς ὁ ἀγαθός.

Θαῦμα! πῶς γυνή,

σὺ ἀνδρείοις κόποις τὸν ἐχθρὸν Βελίαρ,

ἴσχυσας πατῆσαι ὁλοσχερῶς,

καὶ ταχθῆναι μεθ᾽ Ὁσίων τῷ χορῷ.

Ἴασαι κἀμοῦ,

τὴν ἀσθένειαν ψυχῆς, Εἰρήνη,

ὥσπερ ἐξιάσω τοὺς πάσχοντας,

ἔτι ζῶσα θείᾳ χάριτι Χριστοῦ.

Κῆπος εὐανθής,

καὶ παράδεισος Χριστοῦ δειχθεῖσα,

μύρων ἀρετῶν σου ὀσμὴν ἡμῖν,

ὦ Εἰρήνη, δίδου τὴν ζωοποιόν.

Λόγοις ἀγαθοῖς,

μοναστρίας θρέψασα Χρυσοβαλάντου,

ἔκθρεψαι καὶ νῦν ὡς φιλότεκνος,

τοὺς ὑμνοῦντάς σε, Εἰρήνη ἱερά.

**Μ**ῆλα θαυμαστά,

οὐρανόθεν πέμψας σοι ὁ Θεολόγος,

ἔδειξεν εὐμένειαν ποθητήν,

δι᾽ ἁγνότητα ψυχῆς σου καθαρᾶς.

**Ν**όων ἱερῶν,

ὑπερήλασας τὸν βίον, Μῆτερ,

φέρουσα γὰρ σῶμα τὸ ἀσθενές,

ὡς ἰσάγγελος ἐτέλεσας τὴν ζωήν.

**Ξ**ένη ἀληθῶς,

ἡ ἐπιμονὴ ἐν προσευχαῖς σου, Μῆτερ,

δι᾽ ὧν ἐξευμένιζες τὸν Θεόν,

καὶ ἐφείλκυες πλουσίως τὰς δωρεάς.

**Ο**ὔτε τῆς σαρκός,

αἱ ἀσθένειαι κατίσχυσάν σου,

ἀλλ᾽ οὐδὲ τοῦ δαίμονος πειρασμοί,

ἐνεπόδισαν, Εἰρήνη, τὰς προσευχάς.

**Π**ῦρ βαλὼν ἐχθρός,

εὐχομένης σου ὁσία Μῆτερ,

δι᾽ οὗ τῆς σαρκός σου ἀποφορά,

ὡς θυμίαμα προσήχθη τῷ Ἰησοῦ.

Ῥήματα ζωῆς,

οἱ σοὶ λόγοι πρὸς τὰς μοναστρίας,

αἷς εἰκών καὶ ἄγαλμα ἀρετῆς,

ἔμπνουν γέγονας, Εἰρήνη, ἀληθῶς!

Σῶσον καὶ ἡμᾶς,

ὥσπερ ἔσωσας ἐκ τοῦ θανάτου,

τὸν συκοφαντίαις ἐν φυλακῇ,

ὦ Εἰρήνη, θείαις σου εὐχαῖς.

Τύπος γυναιξίν,

ὦ Εἰρήνη, γέγονας Βασιλευούσης,

καὶ κανὼν εὐθύτατος ἀρετῆς,

ἐφελκύουσα αὐτὰς πρὸς τὸν Χριστόν.

Ὕψος νοητόν,

ἡ κυπάρισσος σοῦ καθορῶσα,

ὥσπερ λογικὴ ἀνελάμβανε,

τὴν σὴν σκέπην ἐκ τῆς κεφαλῆς φρικτῶς.

Φώτισον ἡμᾶς,

τοὺς ὑμνοῦντάς σε, ἁγνὴ Εἰρήνη,

ὡς φωτὸς μετέχουσα ἀληθοῦς,

Παραδείσου κατοικήσασα αὐλάς.

Χαίρει σὴ Μονή,

ἐν τῇ μνήμῃ σου, Μῆτερ Εἰρήνη,

ὅθεν ταύτην σκέπε διὰ παντός,

ἐκ παντοίας προσβολῆς δαιμονικῆς.

Ψάλλουσι φαιδρῶς,

τὰς ᾠδάς σοι ταύτας, Μῆτερ,

χάριν ἀντιδώρησαι τοῦ Θεοῦ,

καὶ ἐκπλήρωσιν εὐχῶν ψυχωφελῶν.

Ὡς τοῦ Ἰησοῦ,

οὖσα Κόρη ἀληθοῦς Εἰρήνης,

πρέσβευε, Εἰρήνη, ὑπὲρ ἡμῶν,

εἰρηνεῦσαι ἐκ πολέμου τῶν παθῶν.

*Δόξα. Τριαδικόν.*

Ὢ Τριὰς σεπτή,

ὁ Πατὴρ Υἱὸς καὶ θεῖον Πνεῦμα,

πρόσδεξαι δεήσεις τῆς δούλης σου,

καὶ εἰρήνην δὸς ἡμῖν τὴν ὑπὲρ νοῦν.

*Καὶ νῦν. Θεοτοκίον*

Πάναγνε σεμνή,

Ἀειπάρθενε πιστῶν τὸ κλέος,

σὺν σεπτῇ Εἰρήνῃ ἱκέτευε,

τὸν Υἱόν σου ὑπὲρ πάντων τῶν πιστῶν.

***καὶ πάλιν τὸ α΄.***

Ἄξιόν ἐστι, μακαρίζειν σε, σεμνὴ Εἰρήνη,

τῆς Χρυσοβαλάντου τὸ καύχημα,

καὶ παρθένων Ἰησοῦ τὴν χαρμονήν.

## ΣΤΑΣΙΣ ΤΡΙΤΗ

Ἦχος γ'. Αἱ γενεαὶ πᾶσαι.

Αἱ γενεαὶ πᾶσαι, ὕμνους ἑορτίους, Εἰρήνη, ψάλλομέν σοι.

Ἄισμασιν ἐνθέοις, Εἰρήνη, σὲ τιμῶμεν, ὡς νύμφην τοῦ Κυρίου.

Βέλος τῆς ἀγάπης, Χριστοῦ κατέτρωσέ σε, Εἰρήνη μακαρία.

Γάμους ἐπιγείους, ἀρνησαμένη ἔσχες, Νυμφίον τὸν Δεσπότην.

Δαίμονος καθεῖλες, Εἰρήνη, τὰς παγίδας, ἀγγελικῶς βιοῦσα.

Ἐν Μονῇ ἁγίᾳ, Χρυσοβαλάντου εὗρες, λιμένα σωτηρίας.

Ζήσασα ὁσίως, Εἰρήνη, βίβλος ἔμπνους, κατέστης μοναστρίαις.

Ἤσκησας, Εἰρήνη, τὰς ἐντολὰς Κυρίου, ἐν πάσῃ ἀκριβείᾳ.

Θεολόγου μῆλα, ἐδέξω ὡς βραβεῖον, Εἰρήνη, παρθενίας.

Ἰωαννικίου, μεγάλου ὑποδείξεις, μετέβαλες εἰς ἔργον

Κυπαρίσσου κάμψις, προδίδωσιν Εἰρήνη, δύναμιν προσευχῆς σου.

Λόγοις θεοσδότοις, Εἰρήνη, μοναστρίας σοφῶς ἐποιμενάρχεις.

Μυστηρίων θείων, μεμύησαι Εἰρήνη, ἁγνείᾳ σου τὸ βάθος.

Νοῦν Χριστοῦ χωρίον, ἀπέδειξας Ὁσία, ἀπαύστως εὐχομένη.

Ξένη γεγονυῖα, τοῦ κόσμου τῶν πραγμάτων, μόνον Χριστὸν ἐπόθεις.

Ὁρμαθὸν χαρίτων, συνήγαγες ψυχῇ σου, Εἰρήνη, θεῖον πλοῦτον.

Παρθενίας οἶκος, περίλαμπρος ἐδείχθης, Εἰρήνη ἁγνοτάτη.

Ῥᾶνον οὐρανόθεν, Εἰρήνη ὑμνηταῖς σου, τὸν πλοῦτον χαρισμάτων.

Σῶμα τὸ γεῶδες, ἀπέπνει εὐωδίαν, ἀσκητικοῦ σου βίου.

Τίσιν ἐγκωμίοις, ὑμνήσωμεν ἀξίως, Εἰρήνη ἀρετάς σου.

Ὕψωσις χειρῶν σου, ἐφείλκυε τὴν χάριν, Κυρίου οὐρανόθεν.

Φῶς Χριστοῦ Εἰρήνη, ὑπάρχουσα φωτίζεις, τῶν μοναστῶν τὰ πλήθη.

Χαίρει Ὀρθοδόξων, τὸ σύστημα Εἰρήνη, τιμῶν σου θείαν μνήμην.

Ψαῦσον ἀοράτως, καὶ ἴασαι Εἰρήνη, πληγὰς τὰς τῆς ψυχῆς μου.

Ὦ Χρυσοβαλάντου, σεμνὴ Καθηγουμένη, δέχου ἡμῶν τοὺς ὕμνους.

*Δόξα. Τριαδικόν.*

Πάτερ, Λόγε, Πνεῦμα, εὐχαῖς σεπτῆς Εἰρήνης, σκέπε πιστὸν λαόν σου.

*Καὶ νῦν. Θεοτοκίον*

Πάναγνε Μαρία, σὺν τῇ κλεινῇ Εἰρήνῃ, πρεσβεύετε Κυρίῳ.

***καὶ πάλιν τὸ α΄.***

Αἱ γενεαὶ πᾶσαι, ὕμνους ἑορτίους, Εἰρήνη, ψάλλομέν σοι.

# ΕΥΛΟΓΗΤΑΡΙΑ

Ἦχος πλ.α'.

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με ὑμνῆσαι σὴν Εἰρήνην.*

Τῶν Ἀγγέλων, τὸν βίον,

μιμουμένη Εἰρήνη,

ἀσθενεῖ σου σαρκίῳ,

τῶν δαιμόνων τὴν πληθύν

ᾔσχυνας σοφῶς,

καὶ Χριστοῦ ἀμνάς,

θεία ἀναδέδειξαι,

τῶν πιστῶν τὰ πλήθη,

ἀεὶ εὐφραίνουσα.

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με δοξάσαι σὴν Ὁσίαν.*

Ὄντως θαῦμα!

πῶς Χριστὸς ἠγάπησε,

ὦ Εἰρήνη σὸν ὡραῖον κάλλος,

καὶ τοῦ θρόνου ἥρπασε,

τοῦ ποιῆσαι τὴν ψυχήν σου θρόνον,

καὶ μοναστριῶν δεῖξαι ἡγουμένην σε,

Ὧι προθύμως,

Ὁσία ὑποτέταξαι.

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με Εἰρήνην μιμηθῆναι.*

Ὅτε τὸ πῦρ,

τοῦ Χριστοῦ κατέφλεξε,

ὦ Εἰρήνη, πάναγνον ψυχήν σου,

τότε εὐθύς,

ἀπηρνήσω ἅπαντα,

τὰ τοῦ κόσμου θέλγητρα καὶ κάλλη,

καὶ πρὸς τὴν Μονὴν Χρυσοβαλάντου ἔφθασας,

ἔνθα εὗρες,

ἐπίγειον παράδεισον.

*Εὐλογητὸς εἶ, Κύριε, ὁ δοξάσας Χρυσοβαλάντου Κόρην.*

Χριστοφόρους καρδίας,

μοναχῶν σου, Εἰρήνη,

μετεσκεύασας σοῖς ἐνθέοις τρόποις,

ἀγγέλων τρανῶς,

συνεργούντων ἐν πᾶσι,

ὧν θεοπρεπῶς,

τὸν βίον ἐζήλωσας,

καὶ ἐδείχθης,

ἀξίως ἰσοστάσιος.

Δόξα. *Τριαδικόν.*

Προσκυνοῦσα, Εἰρήνη,

τὴν Ἁγίαν Τριάδα,

ὀρθοδόξως ἀνύμνεις,

φιλανθρώπου ἀγάπης,

μῆκος, εὖρος καὶ πλάτος,

δι᾽ ἧς τὸ ἡμῶν,

γένος ἐξανέστησε,

καὶ τὴν πάλαι,

τιμὴν αὐτῷ ἀπέδωκε.

*Καὶ νῦν. Θεοτοκίον*

Ζωοδότην Δεσπότην,

ἐκ γαστρός σου τεκοῦσα,

τὸν Παράδεισον πᾶσι,

διανοίξασα, Κόρη,

εὐγνωμόνως ἀκούεις,

ὕμνους ἐξ ἡμῶν,

ὅτι κατηξίωσας,

ὡς Εἰρήνην,

μετέχειν τῆς Θεότητος.

*Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα· δόξα σοι ὁ Θεός.(ἐκ γ')*

* * *

*Στίχοι ἱκετευτικοί*

Χρύσωσον ἡμῶν, Εἰρήνη, τὰς ἐννοίας,

ὥσπερ μοναχῶν Μονῆς Χρυσοβαλάντου.

Συνετέθησαν τὰ παρόντα, χάριτι Θεοῦ, εἰς δόξαν τῆς Ὁσίας,

ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας, Ἁγίου Ὄρους Ἄθω, τῇ 2. 12. 2007



**Ἐκκλησάκι Ὁσίας Εἰρήνης Χρυσοβαλάντου**
**Μετόχι Ἐπανομῆς**
*(τοποθεσία «Κριτσιανά» = χριστιανικά, μᾶλλον δέ «πατριαρχικά»)*




**Ὀπισθόφυλλο** (*ἀπὸ ἀριστερὰ*):

Ἰωάννης Δ. Μαυρίδης (*«ὁ No. 5»*, ἐτῶν 7), Πέτρος Κ. Βροῦσγος (*«ὁ σημαιοφόρος»*, ἐτῶν 9), Ἀχιλλέας Α. Μήλιος (*«ὁ μολὼν λαβέ»*, ἐτῶν 7), Εἰρήνη Δ. Μαυρίδου (*«ἡ μικρὴ σημαιοφόρος»*, ἐτῶν 5), Κοσμᾶς Κ. Βροῦσγος (*«ὁ Δοξαπατρής»*, ἐτῶν 7), Δημήτριος Α. Μήλιος (*«ὁ παρατηρητής»*, ἐτῶν 7)